This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Gift of

Hazel Hansen

STANFORD
UNIVERSITY
LIBRARIES

ΕΥΡΙΠΙΔΟΥ

ΜΗΔΕΙΑ

ΚΕΙΜΕΝΟΝ ΚΑΙ ΜΕΤΑΦΡΑΣΙΣ

ΥΠΟ

ΣΩΤΗΡΙΟΥ Α. ΣΑΚΕΛΛΑΡΟΠΟΥΛΟΥ
Γυμνασιάρχου καὶ καθηγητοῦ ἐν τῷ Ἀρσακείῳ.

ΕΝΤΟΛΗι ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ
Πρὸς διδασκαλίαν ἀρχαίων δραμάτων διὰ τὴν ἀπὸ σκηνῆς διδασκαλίαν.

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ "ΝΟΜΙΚΗΣ" Λ. Χ. ΒΕΡΓΙΑΝΙΤΟΥ
ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ, 5
1903

PA 3973
M4
1903

Πᾶν γνήσιον ἀντίτυπον φέρει τὸν σφραγίδα τοῦ συγγραφέως.

ΤΑ ΠΡΟ ΤΗΣ ΥΠΟΘΕΣΕΩΣ ΤΗΣ ΤΡΑΓΩΔΙΑΣ

Πελίας ὁ βασιλεὺς τῆς ἐν Θεσσαλίᾳ Ἰωλκοῦ ἐρωτήσας τὸν θεὸν περὶ τῆς βασιλείας ἔλαβεν ἀπάντησιν νὰ φυλάσσηται τὸν μονοσάνδαλον. Θύων δέ ποτε τῷ Ποσειδῶνι εἶδεν ἐρχόμενον πρὸς αὐτὸν τὸν Ἰάσονα μονοσάνδαλον. Τοῦτο ἰδὼν ὁ Πελίας ἐρωτᾷ τὸν Ἰάσονα τί ἤθελε ποιήσει τὸν ἄνθρωπον, ὑφ' οὗ κατὰ τὸν χρησμὸν ἔμελλε νὰ φονευθῇ. Ὁ Ἰάσων ἀποκρίνεται, ὅτι θὰ διέταττεν αὐτὸν νὰ κομίσῃ τὸ χρυσόμαλλον δέρας ἐκ τῆς Κολχίδος τὸ φρουρούμενον ὑπὸ δράκοντος ἀΰπνου. Τὸ δέρας τοῦτο λοιπὸν ἐπέταξεν ὁ βασιλεὺς τῆς Ἰωλκοῦ τῷ Ἰάσονι, ὅπως κομίσῃ. Οὗτος τὸν φοβερὸν τοῦτον ἀγῶνα ἀναλαβὼν παρεκάλεσε τὸν Ἄργον ἵνα ναυπηγήσῃ ναῦν Ἀργὼ ἀπὸ τοῦ κατασκευάσαντος ὀνομασθεῖσαν. Τῆς Ἀργοναυτικῆς ταύτης ἐκστρατείας μετέσχον οἱ ἄριστοι τῶν τότε ἡρώων, οἵτινες μετὰ πολλὰς πρὸς πολλὰς χώρας προσεγγίσεις, ἀφοῦ τῇ συμβουλῇ τοῦ μάντεως Φινέως διέπλευσαν τὰς Συμπληγάδας πέτρας, κατέπλευσαν εἰς τὴν χώραν τῶν Κόλχων.

Ὁ Ἰάσων παρεκάλεσε τὸν βασιλέα τῆς χώρας ταύτης Αἰήτην, ἵνα δώσῃ τὸ δέρας, ἀλλ' οὗτος ἐπέβαλεν αὐτῷ νὰ ἐκτελέσῃ ἀγῶνας ἐπικινδυνοτάτους. Πάντας ὅμως τοὺς ἀγῶνας τούτους ὁ Ἰάσων ἐξετέλεσεν, ἐπειδὴ ἡ Μήδεια ἡ θυγάτηρ τοῦ Αἰήτου τρωθεῖσα ὑπὸ ἔρωτος πρὸς τοῦτον ἐβοήθησεν αὐτῷ, ὑποσχεθέντι μεθ' ὅρκου, ὅτι θέλει λάβει ταύτην γυναῖκα καὶ ὁδηγήσει εἰς τὴν Ἑλλάδα. Ἀλλὰ καὶ μετὰ τὴν τέλεσιν τῶν ἐπιβληθέντων τῷ Ἰάσονι ἀγώνων ὁ Αἰήτης δὲν ἤθελε νὰ δώσῃ τὸ χρυσόμαλλον δέρας. Διὸ ἡ Μήδεια ἀποκοιμίσασα τὸν φυλάσσοντα αὐτὸ δράκοντα καὶ τὸ δέρας λαβοῦσα φεύγει μετὰ τοῦ Ἰάσονος καὶ τοῦ ἀδελφοῦ Ἀψύρτου. Τὴν φυγὴν ταύτην γνοὺς ὁ Αἰήτης κατεδίωξε τοὺς Ἀργοναύτας, ἀλλ' ἡ μανιώδης θυγάτηρ αὐτοῦ Μήδεια ἰδοῦσα τὸν κίνδυνον καταμελίζει τὸν ἀδελφὸν αὐτῆς Ἄψυρτον καὶ ῥίπτει τοῦτον εἰς τὴν θάλασσαν, ὅπως ἀπασχολήσῃ τὸν διώκοντα πατέρα. Οὕτως οἱ Ἀργοναῦται μετὰ πολλὰς περιπλανήσεις σῶοι καταπλέουσιν εἰς Ἰωλκόν.

Ἐνταῦθα ὁ Ἰάσων δοὺς τῷ Πελίᾳ τὸ χρυσόμαλλον δέρας ἐτιμώρησε τοῦτον διὰ τῆς Μηδείας. Διότι αὕτη ἔπεισε τὰς θυγατέρας αὐτοῦ Ἀστερόπειαν καὶ Ἀντινόην, ἵνα κρεουργήσωσι καὶ καθεψήσωσι τὸν πατέρα, ὅπως γείνῃ νέος. Ἀλλ' ὁ υἱὸς τοῦ Πελίου βοηθούμενος

καὶ ὑπὸ τῶν κατοίκων τῆς χώρας ἐκδιώκει ἐκ τῆς Ἰωλκοῦ τὸν Ἰάσονα καὶ τὴν Μήδειαν, οἵτινες φεύγουσιν εἰς Κόρινθον. Ἐνταῦθα ὁ Ἰάσων ἄπιστος γενόμενος ἐγκαταλείπει τὴν Μήδειαν καὶ λαμβάνει σύζυγον τὴν θυγατέρα τοῦ βασιλέως τῆς χώρας ταύτης Κρέοντος Γλαύκην.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΡΑΓΩιΔΙΑΣ

Ἐν τῇ προκειμένῃ τραγῳδίᾳ ὁ Εὐριπίδης πραγματεύεται τὸν μῦθον τῆς τιμωρίας τοῦ Ἰάσονος ὑπὸ τῆς Μηδείας διὰ τὴν ἀπιστίαν αὐτοῦ.

Ἐν τῷ προλόγῳ ἡ τροφὸς τῆς Μηδείας περίλυπος οὖσα διὰ τὴν συμφορὰν τῆς δεσποίνης προαισθάνεται κακόν τι. Εἰς ταύτην ἀγγέλλει ὁ παιδαγωγός, ὅτι Κρέων ὁ βασιλεὺς τῶν Κορινθίων καὶ πατὴρ τῆς νέας γυναικὸς τοῦ Ἰάσονος ἀπεφάσισεν, ὅπως ἐκδιώξῃ τῆς χώρας τὴν Μήδειαν μετὰ τῶν τέκνων αὐτῆς. Ἡ Μήδεια ἐντὸς τῶν οἴκων αὐτῆς θρηνεῖ τὴν ἰδίαν συμφοράν. Τὸν θρῆνον δὲ ταύτης ἀκούσασαι αἱ Κορίνθιαι γυναῖκες, ἐξ ὧν συνίσταται ὁ χορός, ἔρχονται πρὸ τοῦ οἴκου αὐτῆς, ὅπως παραμυθήσωνται ταύτῃ. Πρὸς ταύτας ἐξελθοῦσα ἡ Μήδεια λέγει, ὅτι διανοεῖται νὰ τιμωρήσῃ τὸν ἄνδρα, τὴν νέαν γυναῖκα καὶ τὸν πατέρα αὐτῆς Κρέοντα. Ἀλλ᾽ ὁ Κρέων ἐλθὼν κελεύει τὴν Μήδειαν, ἵνα τάχιστα ἀπέλθῃ τῆς Κορίνθου, μεταπείθεται ὅμως ὑπὸ τῆς πανούργου Μηδείας, ὅπως ἐπιτρέψῃ αὐτῇ τὴν διαμονὴν ἐπὶ μίαν μόνην ἡμέραν. Καὶ κατὰ τὸ μικρὸν τοῦτο χρονικὸν διάστημα ἡ προδοθεῖσα γυνὴ εἶναι ἱκανὴ νὰ τιμωρήσηται τοὺς ἐχθροὺς αὐτῆς. Ἐντεῦθεν ἄρχεται ἡ λύσις τοῦ μύθου, διότι διὰ τῆς διαμονῆς τῆς Μηδείας καὶ ἐπὶ μίαν ἡμέραν ἐν Κορίνθῳ ἡ ἐκδίκησις ταύτης κατορθοῦται καὶ ἡ δυστυχὴς τῆς Μηδείας θέσις μεταβάλλεται εἰς τοὐναντίον.

Ὁ Ἰάσων δὲν ἀπηγόρευσε τὴν φυγὴν τῶν τέκνων, ἀλλ᾽ ἐλθὼν ὅπως παράσχῃ τῇ φευγούσῃ τὰ μέσα τοῦ βίου ἐλέγχεται ὑπ᾽ αὐτῆς ὡς ἐπίορκος καὶ ἀναιδής. Ὁ προδότης σύζυγος πειρᾶται, ὅπως ἀπολογηθῇ, ἀλλὰ περιπίπτει εἰς σοφίσματα. Ἐν τῷ μύθῳ ἐμπλέκεται ὁ βασιλεὺς τῶν Ἀθηνῶν Αἰγεύς, ὅστις ἐκ τοῦ μαντείου τῶν Δελφῶν ἐρχόμενος καὶ εἰς Τροιζῆνα πρὸς τὸν βασιλέα τῆς χώρας ταύτης πορευόμενος διέρχεται τῆς Κορίνθου καὶ ἐντυγχάνει τῇ Μηδείᾳ, ἥτις ἀφηγεῖται τὴν ἐπιορκίαν τοῦ ἀνδρός, ὑπισχνεῖται αὐτῷ παῖδας, ὧν

στερεῖται οὗτος, καὶ ἱκετεύει, ὅπως δεχθῇ αὐτὴν εἰς Ἀθήνας φυγάδα. Τὸ πρόσωπον τοῦ Αἰγέως, ζητοῦντος ἐκ παντὸς τρόπου τὴν απόκτησιν τέκνων, ἀποτελεῖ ζωηρὰν ἀντίθεσιν πρὸς τὸ πρόσωπον τοῦ Ἰάσονος, ὅστις εἰς τὰ ὑπάρχοντα αὐτῷ τέκνα ἀδιαφορεῖ.

Ὁ Αἰγεὺς ὑπόσχεται ὑπὸ ὅρους τινὰς τῇ Μηδείᾳ ἄσυλον. Τούτου ἐπιτυχοῦσα ἡ Μήδεια καὶ πεποιθυῖα, ὅτι θὰ νικήσῃ τοὺς ἐχθροὺς αὐτῆς μεταπέμπεται τὸν Ἰάσονα, παρ' οὗ ὑποκρινομένη ζητεῖ συγγνώμην διὰ τὰ εἰρημένα, παρακαλεῖ δὲ αὐτόν, ἵνα αἰτήσηται παρὰ τοῦ Κρέοντος, ὅπως μείνωσι τὰ τέκνα ἐν Κορίνθῳ. Ὁ Ἰάσων μηδὲν κακὸν ὑφορῶν ὑπισχνεῖται, ὅτι θὰ προσπαθήσῃ νὰ ἐπιτύχῃ τούτου παρὰ τοῦ Κρέοντος, ἡ δὲ Μήδεια ὑποβοηθοῦσα τούτῳ πέμπει τὰ τέκνα κομίζοντα τῇ Γλαύκῃ τῇ νέᾳ τοῦ Ἰάσονος συζύγῳ πέπλον καὶ χρυσήλατον στέφανον. Τὰ δῶρα ταῦτα ἐμπεποτισμένα δραστικωτάτου δηλητηρίου φονεύουσι τὴν δεξαμένην ταῦτα Γλαύκην, διότι τὸ σῶμα αὐτῆς περιβαλούσης τὰ κοσμήματα ἐδηλητηρίασαν. Ἄγγελος δὲ κομίζων τὴν φοβερὰν ταύτην εἴδησιν ἀγγέλλει, ὅτι τὸ σῶμα τῆς Γλαύκης οἰκτρῶς κατέρρευσε καὶ ὅτι Κρέων ὁ πατὴρ αὐτῆς ἀσπαζόμενος τὸ σῶμα τῆς θυγατρὸς συνθνήσκει αὐτῇ. Τοῦτο μαθοῦσα ἡ ἄστοργος μήτηρ φονεύει τὰ τέκνα, ὑβρίζει τὸν Ἰάσονα ἐλθόντα πρὸς αὐτὴν καὶ ἐφ' ἅρματος πτερωτῶν δρακόντων ἀπέρχεται εἰς Ἀθήνας, ὅπως συνοικήσῃ τῷ Αἰγεῖ.

Ἡ σκηνὴ τῆς τραγῳδίας, ἥτις ἐδιδάχθη ἐν ἔτει 431 π. Χ., ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς συνίσταται ἐκ Κορινθίων γυναικῶν.

Ἡ πρωτεύουσα ἠθικὴ ἰδέα τῆς τραγῳδίας ταύτης εἶναι, ὅτι ἡ προδοσία τοῦ ἀνδρὸς ἄγει τὴν γυναῖκα μέχρι μανίας.

Τὰ τῆς τραγῳδίας πρόσωπα εἶναι τὰ ἑξῆς·

Τροφός
Παιδαγωγός
Μήδεια
Χορὸς Κορινθίων γυναικῶν
Κρέων βασιλεὺς τῆς Κορίνθου
Ἰάσων
Αἰγεὺς βασιλεὺς τῶν Ἀθηνῶν
Ἄγγελος
Παῖδες Μηδείας.

ΠΡΟΛΟΓΟΣ·

ΚΕΙΜΕΝΟΝ

ΤΡΟΦΟΣ. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρος
Πελίᾳ μετῆλθον. Οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος,
οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,
αὐτή τε πάντα ξυμφέρουσ' Ἰάσονι,
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
Προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ' ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός·
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς,
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται

ΠΡΟΛΟΓΟΣ

ΜΕΤΑΦΡΑΣΙΣ

ΤΡΟΦ. Εἴθε νὰ μὴ διέπλεε τὸ σκάφος τῆς Ἀργοῦς
τὰς τρικυμιώδεις Συμπληγάδας (πέτρας) εἰς τὴν χώραν τῶν
[Κόλχων,
μηδὲ νὰ ἔπιπτέ ποτε εἰς τὰς κοιλάδας τοῦ Πηλίου
κοπεῖσα πεύκη, μηδὲ νὰ ὥπλιζεν (αὔτη) διὰ κωπῶν τὰς χεῖρας
ἀνδρῶν ἡρώων, οἱ ὁποῖοι τὸ ὁλόχρυσον δέρας (δέρμα)
χάριν τοῦ Πελίου ἦλθον νὰ ζητήσωσι. Διότι (ἐν τοιαύτῃ πε-
[ριπτώσει) ἡ ἐμὴ δέσποινα
Μήδεια δὲν ἤθελε πλεύσει εἰς τοὺς πύργους τῆς Ἰωλκίας χώ-
τρωθεῖσα τὴν καρδίαν ὑπὸ ἔρωτος πρὸς τὸν Ἰάσονα, [ρας
οὐδὲ πείσασα τὰς θυγατέρας τοῦ Πελίου νὰ φονεύσωσι
τὸν πατέρα ἤθελε κατοικεῖ ταύτην ἐδῶ τὴν χώραν τῆς Κορίνθου
μετὰ τοῦ ἀνδρὸς καὶ τῶν τέκνων, ἀρεστὴ μὲν οὖσα
εἰς τοὺς πολίτας, εἰς τὴν χώραν τῶν ὁποίων ἐξόριστος ἦλθε
καὶ αὐτὴ κατὰ πάντα συμφωνοῦσα μὲ τὸν Ἰάσονα,
ὅπερ εἶναι μεγίστη σωτηρία,
ὅταν ἡ γυνὴ δὲν διχονοῇ πρὸς τὸν ἄνδρα.
Τώρα ὅμως εἶναι ἐχθρὰ ὅλα, καὶ ὁ οἶκος δυστυχεῖ.
Διότι προδώσας τὰ τέκνα αὐτοῦ καὶ τὴν ἐμὴν δέσποιναν
ὁ Ἰάσων συζῇ μετὰ βασιλικῆς συζύγου,
νυμφευθεὶς τὴν θυγατέρα τοῦ Κρέοντος, ὁ ὁποῖος βασιλεύει
[τῆς χώρας.
Ἡ δὲ δυστυχὴς Μήδεια ἠτιμασμένη
ἐπιμαρτύρεται μὲν τοὺς ὅρκους, ἐπικαλεῖται δὲ τὰς διὰ δε-
[ξιώσεων ὑποσχέσεις,
ὅπερ εἶναι μεγίστη πίστις, καὶ ἐπικαλεῖται μάρτυρας τοὺς θεοὺς

οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώζῃ φίλον
καὶ γαῖαν οἴκους θ' οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
Ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.

Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον.
Βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν.
[Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
σιγῇ δόμους εἰσβᾶσ', ἵνα ἔστρωται λέχος,

ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.]
Δεινὴ γάρ. Οὔτι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται.
Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙΔΑΓ. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά ;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει ;

ΤΡΟΦΟΣ. Τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν

ὁποίας ἀγνωμοσύνης τυγχάνει ἐκ μέρους τοῦ Ἰάσονος.
Κεῖται δὲ νῆστις, ἀφήσασα τὸ σῶμα εἰς τὰς λύπας,
καθ' ὅλον τὸν χρόνον φθείρουσα (αὐτὸ) διὰ δακρύων,
ἀφ' ὅτου ἐνόησεν ὅτι εἶναι ἠδικημένη ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς,
οὔτε τὸ βλέμμα σηκώνουσα οὔτε ἀπὸ τῆς γῆς ἀπομακρύνουσα
τὸ πρόσωπον· καθὼς δὲ βράχος ἢ τῆς θαλάσσης
τρικυμία ἀκούει τοὺς φίλους νουθετουμένη (ὑπὸ τούτων)·
ἐκτὸς ἐάν ποτε στρέψασα τὸν κατάλευκον λαιμόν της
αὐτὴ καθ' ἑαυτὴν θρηνεῖ τὸν ἀγαπητόν της πατέρα
καὶ τὴν χώραν καὶ τοὺς οἴκους, τοὺς ὁποίους προδώσασα ἀνε-
μετ' ἀνδρὸς ὁ ὁποῖος τώρα αὐτὴν ἔχει περιφρονήσει. [χώρησε
Ἔμαθε δὲ ἡ δυστυχὴς ὑπὸ τῆς συμφορᾶς
πόσον καλὸν πρᾶγμα εἶναι νὰ μὴ ἀπομακρύνηταί τις τῆς
[πατρικῆς χώρας.
Μισεῖ δὲ τὰ τέκνα της, οὐδ' εὐχαριστεῖται βλέπουσα αὐτά.
Φοβοῦμαι δὲ μήπως αὕτη σκεφθῇ κακόν τι.
Διότι εἶναι λυπημένη, καὶ δὲν θὰ ἀνεχθῇ
ἐνῷ βλάπτεται· ἐγὼ γνωρίζω αὐτήν, καί την φοβοῦμαι.
Μήπως ἠκονημένον ξίφος ἐμπήξῃ εἰς τὸ ἧπαρ,
μετὰ σιγῆς εἰσελθοῦσα εἰς τὰ ἀνάκτορα, ὅπου εἶναι ἐστρω-
[μένη ἡ κλίνη,
ἢ (μήπως) καὶ τὸν βασιλέα καὶ τὸν σύζυγον φονεύσῃ
καὶ κατόπιν περιπέσῃ εἰς μεγαλυτέραν τινὰ δυστυχίαν.
Διότι εἶναι φοβερά. Οὐχὶ εὐκόλως ἐλθών τις
εἰς ἔχθραν πρὸς αὐτὴν θὰ νικήσῃ ἔνδοξον νίκην.
Ἀλλ' ἰδοὺ οἱ παῖδες ἔχοντες παύσει ἐκ τοῦ δρόμου
ἔρχονται, οὐδεμίαν ἐννοοῦντες ἐκ τῶν τῆς μητρὸς
δυστυχιῶν· διότι ὁ νοῦς τῶν νέων δὲν συνηθίζει νὰ λυπῆται.

ΠΑΙΔ. Ἀρχαία ὑπηρέτρια τοῦ οἴκου τῆς ἐμῆς δεσποίνης,
διατί πλησίον τῶν πυλῶν οὕτως ἔρημος οὖσα
ἔχεις σταθῆ, θρηνοῦσα καθ' ἑαυτὴν τὰς δυστυχίας ;
πῶς ἡ Μήδεια θέλει νὰ μένῃ μόνη ἄνευ σοῦ ;

ΤΡΟΦ. Γέρον ἀκόλουθε τῶν τέκνων τοῦ Ἰάσονος,
εἰς τοὺς χρηστοὺς δούλους εἶναι δυστυχία αἱ τῶν δεσποτῶν
[ὑποθέσεις,

κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

ΠΑΙΔΑΓ. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων ;

ΤΡΟΦΟΣ. Ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.

ΠΑΙΔΑΓ. Ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.

ΤΡΟΦΟΣ. Τί δ' ἔστιν, ὦ γεραιέ ; μὴ φθόνει φράσαι.

ΠΑΙΔΑΓ. Οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.

ΤΡΟΦΟΣ. Μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.

ΠΑΙΔΑΓ. Ἤκουσά του λέγοντος οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθὼν ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. Ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.

ΤΡΟΦΟΣ. Καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει ;

ΠΑΙΔΑΓ. Παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

ΤΡΟΦΟΣ. Ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.

ΠΑΙΔΑΓ. Ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.

ΤΡΟΦΟΣ. Ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.

ΠΑΙΔΑΓ. Τίς δ' οὐχὶ θνητῶν ; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,

ὁπόταν αὗται ἀποβαίνωσι δυστυχεῖς, καὶ λυποῦσιν αὐτούς.
Ἐγὼ ἐπὶ παραδείγματι τόσον πολὺ ἔχω λυπηθῆ,
ὥστε με κατέλαβε σφοδρὰ ἐπιθυμία εἰς τὴν γῆν καὶ τὸν οὐρανὸν
ἐλθοῦσα ἐνταῦθα νὰ εἴπω τὰς δυστυχίας τῆς δεσποίνης.

ΠΑΙΔ. Ἀλλὰ δὲν παύει ἀκόμη ἡ δυστυχὴς ἀπὸ τοὺς θρήνους ;

ΤΡΟΦ. Σὲ ζηλεύω· τὸ κακὸν εἶναι ἐν ἀρχῇ καὶ δὲν ἔφθασεν ἀκόμη [εἰς τὸ μέσον.

ΠΑΙΔ. Ὦ μωρά, ἂν πρέπει νὰ εἴπῃ τις τοῦτο εἰς τοὺς δεσπότας·
διότι τίποτε ἐκ τῶν νεωτέρων κακῶν δὲν γνωρίζει.

ΤΡΟΦ. Ἀλλὰ τί εἶναι, ὦ γέρον ; μὴ ἀρνηθῇς νά μοι εἴπῃς.

ΠΑΙΔ. Τίποτε· μετενόησα καὶ διὰ τὰ πρότερον λεχθέντα.

ΤΡΟΦ. Μή, θερμῶς σε ἱκετεύω, κρύπτε ἀπὸ τὴν σύνδουλόν σου·
διότι, ἂν εἶναι ἀνάγκη, θὰ τηρήσω σιγὴν περὶ τούτων.

ΠΑΙΔ. Ἤκουσά τινα νὰ λέγῃ χωρὶς νὰ φαίνωμαι ὅτι ἀκούω,
πλησιάσας εἰς τὸ μέρος ἔνθα, ὡς γνωστόν, οἱ γέροντες παί- [ζουσι τοὺς πεσσοὺς
καθήμενοι περὶ τὴν σεβαστὴν κρήνην τῆς Πειρήνης,
ὅτι τούτους ἐδῶ τοὺς παῖδας θὰ ἐκδιώξῃ ἐκ τῆς Κορινθίας
μετὰ τῆς μητρὸς ὁ βασιλεὺς ταύτης ἐδῶ τῆς χώρας [χώρας
Κρέων. Ὁ λόγος ὅμως οὗτος ἂν εἶναι ἀληθὴς
δὲν γνωρίζω· θὰ ἐπεθύμουν ὅμως νὰ μὴ εἶναι ἀληθής.

ΤΡΟΦ. Καὶ θὰ ἀνεχθῇ ὁ Ἰάσων ταῦτα τὰ τέκνα του
νὰ πάσχωσι, καὶ ἐν ᾗ περιπτώσει ἔχει ἔριδα πρὸς τὴν μητέρα

ΠΑΙΔ. Οἱ παλαιοὶ συγγενεῖς εἶναι ὑποδεέστεροι τῶν νέων, [(αὐτῶν);
καὶ δὲν εἶναι πλέον ἐκεῖνος φίλος τούτου ἐδῶ τοῦ οἴκου.

ΤΡΟΦ. Κατεστράφημεν λοιπόν, ἂν κακὸν προσθέσωμεν
νέον εἰς παλαιόν, προτοῦ τοῦτο (τὸ ὑπάρχον) νὰ ἔχῃ τελειώσει.

ΠΑΙΔ. Ἀλλὰ σὺ βέβαια, διότι δὲν εἶναι καιρὸς νὰ γνωρίζῃ τοῦτο
ἡ δέσποινα, μένε ἥσυχος καὶ σιώπα.

ΤΡΟΦ. Ὦ τέκνα, ἀκούετε ὁποῖος (πόσον κακὸς) εἶναι εἰς σᾶς ὁ πα-
εἴθε μὲν νὰ μὴ χαθῇ· διότι εἶναι κύριός μου· [τήρ;
ἀλλ' ὅμως εὑρίσκεται ὅτι εἶναι κακὸς εἰς τοὺς ἀγαπητούς.

ΠΑΙΔ. Καὶ ποῖος ἀπὸ τοὺς ἀνθρώπους δὲν εἶναι (κακός) ; τώρα [ἔμαθες τοῦτο,
ὅτι πᾶς τις ἀγαπᾷ περισσότερον τὸν ἑαυτόν του ἀπὸ τὸν πλησίον,

οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,
εἰ τούσδε γ' εὐνῆς εἵνεκ' οὐ στέργει πατήρ ;

ΤΡΟΦΟΣ. Ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
Σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
Ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται

χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
Ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

ΜΗΔΕΙΑ. Ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,
ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν ;

ΤΡΟΦΟΣ. Τόδ' ἐκεῖνο, φίλοι παῖδες· μήτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύδετε θᾶσσον δώματος εἴσω
καὶ μὴ πελάσητ' ὄμματος ἐγγύς,
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
Ἴτε νῦν χωρεῖθ' ὡς τάχος εἴσω.
Δῆλον δ' ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς ὡς τάχ' ἀνάψει
μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
μεγαλόσπλαγχνος, δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν ;

ΜΗΔΕΙΑ. Αἰαῖ,
ἔπαθον τλάμων, ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι
παῖδες, ὄλοισθε, στυγερᾶς ματρός,
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.

ΤΡΟΦΟΣ. Ἰώ μοί μοι, ἰὼ τλήμων.
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι ; τί τούσδ' ἔχθεις ; οἴμοι,

ἄλλοι μὲν δικαίως, ἄλλοι δὲ χάριν κέρδους,
ἀφοῦ τούτους ἐδῶ τοὺς παῖδας δὲν ἀγαπᾷ ὁ πατὴρ ἕνεκα γάμου;

ΤΡΟΦ. Πορεύθητε ἐντὸς τῶν οἴκων, ὦ τέκνα, διότι καλὸν θὰ εἶναι τοῦτο.
Σὺ δὲ ὅσον τὸ δυνατὸν περισσότερον κρύψον τούτους
καὶ μὴ παρουσίαζε εἰς τὴν μητέρα ὀργιζομένην.
Διότι πρὸ ὀλίγου εἶδον αὐτὴν ἐξηγριωμένην κατὰ τὸ βλέμμα
ἐναντίον τούτων ἐδῶ (τῶν τέκνων), ὡς μέλλουσαν νὰ πράξῃ
[τι (κακόν)· οὐδὲ θὰ παύσῃ
ἀπὸ τὴν ὀργήν, καλῶς γνωρίζω (τοῦτο), πρὶν κατακεραυνώσῃ τινά.
Εἴθε ὅμως κατὰ τῶν ἐχθρῶν, καὶ οὐχὶ κατὰ τῶν ἀγαπη-
[τῶν, νὰ πράξῃ τι (κακόν).

ΜΗΔ. Φεῦ,
δυστυχὴς ἐγὼ καὶ ἀθλία ἕνεκα τῶν συμφορῶν.
Ἀλλοίμονον εἰς ἐμέ, πῶς ἠδυνάμην νὰ καταστραφῶ ;

ΤΡΟΦ. Τοῦτο εἶναι ἐκεῖνο, ὦ ἀγαπητοὶ παῖδες (περὶ οὗ ἔλεγον)· ἡ μή-
παρoργίζει τὴν καρδίαν, καὶ αὐξάνει τὴν ὀργὴν αὐτῆς. [τηρ
Σπεύδετε ταχύτερον ἐντὸς τῶν οἴκων
καὶ μὴ πλησιάσητε ἐγγὺς τῶν ὀφθαλμῶν της,
μηδὲ ἔλθητε πρὸς αὐτήν, ἀλλὰ προφυλάττεσθε
ἀπὸ τὸ ἄγριον ἦθος καὶ τὴν σκληρὰν φύσιν
αὐθάδους πνεύματος.
Ἐμπρὸς τώρα εἰσέλθετε τάχιστα ἐντός.
Εἶναι δὲ φανερὸν ὅτι ἐξ ἀρχῆς ὑψούμενον
τὸ νέφος τοῦ θρήνου ταχέως θὰ ἐκραγῇ
μετὰ μεγαλυτέρας ὁρμῆς· τί ἄρά γε θὰ πράξῃ
θυμώδης, δυσκόλως καταπραϋνομένη
ψυχὴ καταληφθεῖσα ὑπὸ δυστυχιῶν ;

ΜΗΔ. Φεῦ !
ἔπαθον ἡ ταλαίπωρος, ἔπαθον μεγάλων
ὀδυρμῶν ἄξια· ὦ κατηραμένοι
παῖδες δυστυχοῦς μητρός, εἴθε νὰ καταστραφῆτε
μετὰ τοῦ πατρὸς καὶ ὅλος ὁ οἶκος ἃς χαθῇ.

ΤΡΟΦ. Ἀλλοίμονον εἰς ἐμέ, φεῦ ἡ δυστυχής.
Ἀλλὰ κατὰ τί οἱ παῖδες τοῦ σφάλματος τοῦ πατρὸς
μετέχουσι ; διατί μισεῖς τούτους ; ἀλλοίμονον,

τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
Δεινὰ τυράννων λήματα καί πως
ὀλίγ' ἀρχόμενοι πολλὰ κρατοῦντες
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν, εἰ μὴ μεγάλως,
ὀχυρῶς γ' εἴη καταγηράσκειν.
Τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν.

ΠΑΡΟΔΟΣ

ΧΟΡΟΣ. Ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,
λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου γόον ἔκλυον·

οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται.

ΤΡΟΦΟΣ. Οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
Τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ' ἐν θαλάμοις τήκει βιοτὴν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένη φρένα μύθοις.

ΜΗΔΕΙΑ. Αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟΡΟΣ. — *Στροφή*

Ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς,
ἰαχὰν οἵαν ἁ δύστανος

ὦ τέκνα, πόσον λυποῦμαι μήπως πάθητέ τι (κακόν).
Φοβερὸς εἶναι ὁ θυμὸς τῶν βασιλέων καὶ ὁπωςδήποτε,
ἐπειδὴ σπανίως μὲν ἐξουσιάζονται, πολλάκις δὲ ἐξουσιάζουσι,
δυσκόλως πραΰνουσι τὸν θυμόν των.
(Κακῶς ποιοῦντες) Διότι τὸ νὰ συνηθίσῃ τις νὰ ζῇ ἐν ἰσότητι
εἶναι προτιμότερον· ἐγὼ τοὐλάχιστον, ἂν μὴ μεγαλοπρεπῶς,
εἴθε νὰ φθάσω εἰς γῆρας ἀσφαλῶς.
Διότι τῆς ἰσότητος πρῶτον μὲν νὰ εἴπῃ τις
τὸ ὄνομα εἶναι καλύτερον, καὶ κατὰ τὴν πρᾶξιν πολὺ
καλύτερον εἰς τοὺς ἀνθρώπους· ἡ δὲ ὑπερβολὴ
οὐδεμίαν ὠφέλειαν προξενεῖ εἰς τοὺς ἀνθρώπους·
μεγαλυτέρας δὲ βλάβας, ὅταν ὀργισθῇ
ὁ θεός, εἰς τοὺς οἴκους συνήθως ἀποδίδει.

ΠΑΡΟΔΟΣ

ΧΟΡ. Ἤκουσα φωνήν, ἤκουσα δὲ θρῆνον
τῆς δυστυχοῦς
Κολχίδος (Μηδείας), οὐδὲ ἐπραΰνθη ἀκόμη· ἀλλά, ὦ γηραιά,
εἰπέ μοι· διότι οὖσα ἐντὸς τοῦ ἀμφιπύλου (μεγαλοπρεποῦς)
[οἴκου ἤκουσα τοὺς θρήνους·
καὶ δὲν εὐχαριστοῦμαι, ὦ γύναι, διὰ τὰς δυστυχίας τοῦ οἴκου,
διότι οὗτός μοι εἶναι προσφιλής.

ΤΡΟΦ. Δὲν ὑπάρχει οἶκος τοῦ Ἰάσονος· τώρα πλέον οὗτος ἠφανίσθη.
Διότι τὸν μὲν Ἰάσονα κατέχουσιν οἱ γάμοι τῶν βασιλέων,
φθείρει δὲ τὸν βίον ἐντὸς τοῦ οἴκου
ἡ δέσποινα (Μήδεια) οὐδόλως οὐδενὸς τῶν φίλων
ἐκ τῶν λόγων παρηγορουμένη.

ΜΗΔ. Φεῦ,
διὰ τῆς κεφαλῆς μου κεραυνὸς
εἴθε νὰ διέλθῃ· διότι τί κέρδος ὑπάρχει εἰς ἐμὲ πλέον νὰ ζῶ;
Φεῦ, φεῦ· εἴθε διὰ τοῦ θανάτου νὰ καταστρέψω
τὴν ἀθλίαν ζωὴν καταλιποῦσα (ταύτην).

ΧΟΡΟΣ. — *Στροφή*

Ἤκουσας, ὦ Ζεῦ καὶ γῆ καὶ φῶς,
ὁποίαν κραυγὴν ἡ δυστυχὴς

μέλπει νύμφα ;
Τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία,
σπεύσει θανάτου τελευτάν ;
μηδὲν τόδε λίσσου.
Εἰ δὲ σὸς πόσις
καινὰ λέχει σεβίζει,
κείνῳ τόδε μὴ χαράσσου·
Ζεύς σοι τάδε συνδικήσει. Μὴ λίαν
τάκου δυρομένα σὸν εὐνάταν.

ΜΗΔΕΙΑ. Ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι,
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν ; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.

ΤΡΟΦΟΣ. Κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται ;
Οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟΡΟΣ.—*Ἀντιστροφή*

Πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη ;
Μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
Ἀλλὰ βᾶσά νιν
δεῦρο πόρευσον οἴκων
ἔξω, φίλα καὶ τάδ' αὔδα,
σπεύσασά τι πρὶν κακῶσαι τοὺς εἴσω.

σύζυγος ἐκβάλλει;
Τίς τέλος τῆς ἀπληστάστου ὑπὸ σοῦ
κλίνης ἐπιθυμία, ὦ ματαία,
θὰ ἐπισπεύσῃ τὸν θάνατον;
μηδόλως εὔχου τὸν θάνατον.
Ἂν δὲ ὁ σύζυγός σου
τιμᾷ ἄλλην γυναῖκα,
σὺ μὴ ὀργίζησαι διὰ τοῦτο ἐνάντίον ἐκείνου·
ὁ Ζεὺς θά σοί εἶναι ὑπερασπιστὴς εἰς τοῦτο. Μὴ παρὰ πολὺ
θλίβησαι ὀδυρομένη διὰ τὸν σύζυγόν σου.

ΜΗΔ. Ὦ μεγάλη Θέμις καὶ σεβασμία Ἄρτεμις,
βλέπετε ὅσα πάσχω, ἐνῷ μὲ μεγάλους ὅρκους
ἔδεσα τὸν κατηραμένον
σύζυγον; τοῦτον καὶ τὴν νύμφην εἴθε ποτὲ νὰ ἴδω ἐγὼ
μὲ αὐτοὺς τοὺς οἴκους καταστρεφομένους,
διότι οὗτοι ἐμὲ βέβαια τολμῶσι πρότερον νἀδικῶσιν.
Ὦ πάτερ, ὦ πόλις, ἀφ' ὧν ἀπεμακρύνθην
αἰσχρῶς τὸν ἀδελφόν μου φονεύσασα.

ΤΡΟΦ. Ἀκούετε ὁποῖα λέγει καὶ ἐπικαλεῖται
τὴν ἔφορον τῶν εὐχῶν Θέμιν καὶ τὸν Δία, ὁ ὁποῖος τῶν ὅρκων
φύλαξ ὑπὸ τῶν ἀνθρώπων ἔχει θεωρηθῇ;
Ἐξάπαντος οὐχὶ διὰ μικροῦ κακοῦ
ἡ δέσποινα θὰ καταπαύσῃ τὴν ὀργήν.

ΧΟΡΟΣ. — *Ἀντιστροφή*

Πῶς ἐνώπιον ἡμῶν δύναται
νὰ ἔλθῃ καὶ ἀφοῦ τῇ ὁμιλήσω
ἤθελε δεχθῇ συμβουλήν,
(προσπαθοῦσα) μήπως κατά τινα τρόπον τὴν βαρεῖαν ὀργὴν
καὶ τὴν ἀγανάκτησιν ἤθελεν ἀφήσει;
Ἡ ἐμὴ βέβαια προθυμία ἂς μὴ
ἐλλείπῃ εἰς τοὺς φίλους.
Ἀλλ' εἰσελθοῦσα αὐτὴν
κάλεσον ἐνταῦθα τῶν οἴκων
ἔξω καὶ εἰπὲ ὅτι ἡμεῖς ἐδῶ διακείμεθα φιλικῶς πρὸς αὐτήν,
σπεύσασα πρὶν πράξῃ κακόν τι εἰς τοὺς ἐντὸς (τοὺς παῖδας).

πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.

ΤΡΟΦΟΣ. Δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν,
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
Καίτοι τοκάδος δέργμα λεαίνης,
ἀποταυροῦται δμωσίν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμηθῇ.
Σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις
ηὕροντο βίου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
ηὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι
δαῖτες, τί μάτην τείνουσι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟΡΟΣ. — *Ἐπῳδός*

Ἰαχὰν ἄϊον πολύστονον γόων,
λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ' ἄδικα παθοῦσα
τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
πόντου κλῇδ' ἀπέραντον.

ΕΠΕΙΣΟΔΙΟΝ Α'.

ΜΗΔΕΙΑ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμφησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν

διότι ἰδοὺ ἡ λύπη μεγάλως ἐπαυξάνεται.

ΤΡΟΦ. Θὰ πράξω ταῦτα· ἀλλὰ φόβος ὑπάρχει ἂν θὰ πείσω
τὴν ἐμὴν δέσποιναν,
εὐχαρίστως δὲ θὰ κάμω ταύτην τὴν χάριν τοῦ κόπου.
Ἂν καὶ βλέμμα λεαίνης ἀρτιτόκου ἔχει,
ἐξαγριοῦται ἐναντίον τῶν ὑπηρετῶν, ὅταν τις
ὁμιλῶν πρὸς αὐτὴν την πλησιάσῃ.
Λέγων δέ τις ἀμαθεῖς καὶ οὐδόλως σοφοὺς
τοὺς προγενεστέρους ἀνθρώπους δὲν ἤθελε σφαλῇ,
διότι οὗτοι ᾄσματα εἰς μὲν τὰς ἑορτὰς
καὶ εἰς τὰς εὐωχίας καὶ ἐν καιρῷ τῶν δείπνων
ἐφεῦρον εὐχάριστα ἀκροάματα τῆς ζωῆς·
οὐδεὶς ὅμως τῶν ἀνθρώπων τὰς μισητὰς λύπας
ἐφεῦρε διὰ τῆς μουσικῆς καὶ διὰ πολυχόρδων
ᾀσμάτων νὰ καταπαύῃ, ἕνεκα τῶν ὁποίων (λυπῶν) θάνατο
καὶ φοβεραὶ δυστυχίαι καταστρέφουσιν οἴκους.
Καὶ βεβαίως ταύτας μὲν τὰς λύπας κέρδος εἶναι νὰ θεραπεύωσι
δι᾽ ᾀσμάτων οἱ ἄνθρωποι· ὅπου ὅμως εὔθυμα
συμπόσια (ὑπάρχουσι), διατί ἀνωφελῶς ὑψοῦσι φωνάς ;
διότι τὸ ὑπάρχον παρέχει τέρψιν μόνον του
εἰς τοὺς ἀνθρώπους, ὁ χορτασμὸς δηλαδὴ φαγητοῦ.

ΧΟΡΟΣ. — *Ἐπῳδός*

Ἤκουσα πολλὴν φωνὴν θρήνων,
ὀξεῖς δὲ θλιβεροὺς ἐκβάλλει θρήνους (καταρωμένη)
τὸν προδότην τοῦ γάμου τὸν πρὸς δυστυχίαν σύζυγον·
ἐπικαλεῖται δὲ ἄδικα παθοῦσα
τὴν ἔφοραν τῶν ὅρκων Θέμιν τὴν συγκάθεδρον τοῦ Διός,
ἡ ὁποία ἔκαμεν αὐτὴν νὰ διαβῇ
εἰς τὴν Ἑλλάδα τὴν ἀπέναντι (τῆς Κολχίδος) κειμένην,
διὰ τῆς θαλάσσης ἐν καιρῷ νυκτὸς ἐπὶ τοῦ ἁλμυροῦ
ἀπεράντου στενοῦ τοῦ πόντου (Ἑλλησπόντου).

ΕΠΕΙΣΟΔΙΟΝ Α΄.

ΜΗΔ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον τῶν οἴκων μου, [θρώπων
ἵνα μή με κατηγορῆτε· διότι γνωρίζω ὅτι πολλοὶ ἐκ τῶν ἀν—

σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς δ' ἐν θυραίοις· οἱ δ' ἀφ' ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.
Δίκην γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ' ἀστὸν ἤνεσ', ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε
ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκω καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
Πάντων δ' ὅσ' ἐστ' ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· ἐκείνου γὰρ τόδ' ἄλγιον κακόν.
Κάν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν
ἢ χρηστόν. Οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξίν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅτῳ μάλιστα χρήσεται συνευνέτῃ.
Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
Ἀνὴρ δ', ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης,
ἢ πρὸς φίλον τιν' ἢ πρὸς ἥλικας τραπείς·

ὑπερήφανοι ἔχουσι θεωρηθῆ, οἱ μὲν ἀποφεύγοντες τὴν σχέσιν
[τῶν ἀνθρώπων,
οἱ δὲ πολλάκις πλησιάζοντες αὐτούς· ἄλλοι δὲ ἡσυχάζοντες
ἐκτήσαντο κακὴν φήμην ὀκνηρίας.
Διότι δὲν ὑπάρχει δικαιοσύνη εἰς τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων,
οἵτινες πρὶν μάθωσιν ἀκριβῶς τὴν καρδίαν ἀνθρώπου τινὸς
μισοῦσιν ἐξ ὄψεως, ἐνῷ οὐδόλως ἔχουσιν ἀδικηθῆ.
Πρέπει δὲ ὁ ξένος μὲν πολὺ (ταχέως) νὰ συμφωνῇ μετὰ τῶν
[πολιτῶν·
καὶ δὲν ἐπαινῶ τὸν κάτοικον τῆς πόλεως, ὅστις αὐθάδης ἔχων
εἶναι λυπηρὸς εἰς τοὺς πολίτας ἐξ ἀμαθίας. [γείνει
Ἀλλ' ἐμὲ ἀνέλπιστος ἡ δυστυχία αὕτη προσβαλοῦσα
κατέστρεψε τὴν ζωήν μου· ἔχω δὲ καταστραφῆ καὶ τῆς ζωῆς
τὴν εὐχαρίστησιν ἀπολέσασα ἔχω ἀνάγκην νἀποθάνω, ὦ φίλαι,
Διότι ὁ σύζυγός μου, εἰς ὃν εἶχον ὅλας μου τὰς ἐλπίδας, γνω-
ἀπέβη ὁ κάκιστος τῶν ἀνδρῶν. ρίζω καλῶς,
Ἐκ πάντων δὲ ὅσα ἔχουσι ζωὴν καὶ νοῦν
αἱ γυναῖκες εἴμεθα δυστυχέστατον πλάσμα.
Διότι αὗται πρῶτον μὲν πρέπει διὰ πολλῶν χρημάτων
νἀγοράσωσι σύζυγον καὶ κύριον τοῦ σώματος
νὰ λάβωσι· διότι τὸ τελευταῖον τοῦτο εἶναι λυπηρότερον ἐκεί-
[νου (τοῦ πρώτου).
Καὶ ὁ μέγιστος κίνδυνος εἶναι ἐν τούτῳ, ἢ νὰ λάβῃ τις κακὸν
ἢ καλὸν (σύζυγον). Διότι οἱ χωρισμοὶ δὲν εἶναι καλοὶ
εἰς τὰς γυναῖκας, οὐδὲ εἶναι δυνατὸν νὰ ἀρνηθῶσι τὸν ἄνδρα.
Ἐλθοῦσαι δὲ εἰς νέα ἤθη καὶ συνηθείας
πρέπει νὰ εἶναι μάντεις, ἐπειδὴ δὲν ἔμαθον οἴκοθεν,
ποῖον ἀκριβῶς ἄνδρα θὰ ἔχωσι.
Καὶ ἂν μὲν ἡμεῖς οἰκονομῶμεν ταῦτα καλῶς
καὶ ὁ σύζυγος συζῇ χωρὶς νὰ φέρῃ συζυγικὸν ζυγὸν δυσαρέστως,
ὁ βίος εἶναι ζηλευτός· εἰ δ' ἄλλως, ἀνάγκη νἀποθάνωμεν.
Καὶ ὁ μὲν ἀνήρ, ὅταν λυπῆται μὲ τοὺς ἐν τῷ οἴκῳ νὰ κατοικῇ,
ἐξελθὼν τῆς οἰκίας καταπαύει συνήθως τὴν καρδίαν ἀπὸ τῆς
[δυσαρεσκείας,
ἢ πρὸς φίλον τού τινα πορευθεὶς ἢ πρὸς συνομήλικας·

ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
Λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἳ δὲ μάρνανται δορί·
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα
στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ αὐτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος·

σοὶ μὲν πόλις γὰρ ἔστι καὶ πατρὸς δόμοι
βίου τ' ὄνησις καὶ φίλων συνουσία,
ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ' ὑβρίζομαι
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελῃσμένη,
οὐ μητέρ', οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον δέ σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ' ἐξευρεθῇ
πόσιν δίκην τῶνδ' ἀντιτίσασθαι κακῶν
τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥ τ' ἐγήματο,

σιγᾶν. Γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

ΧΟΡΟΣ. Δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτίσει πόσιν,
Μήδεια. Πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.

Ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ. Σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

ΜΗΔΕΙΑ. Αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
Ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,

εἰς ἡμᾶς ὅμως εἶναι ἀνάγκη πρὸς μίαν μόνην ψυχὴν νὰ βλέ-
Λέγουσι δὲ ὅτι ἡμεῖς ἀκίνδυνον βίον [πωμεν.
ζῶμεν ἐν τῷ οἴκῳ, οὗτοι δὲ πολεμοῦσι διὰ τοῦ δόρατος·
κακῶς σκεπτόμενοι· ἐπειδὴ τρεῖς φορὰς ὄπισθεν τῆς ἀσπίδος
νὰ σταθῶ θὰ ἐπροτίμων μᾶλλον παρὰ ἅπαξ νὰ γεννήσω.
Ἀλλὰ (ἂς ἀφήσωμεν ταῦτα), διότι ὁ αὐτὸς λόγος δὲν ἀφορᾷ
[εἰς σὲ καὶ εἰς ἐμέ·
διότι εἰς σὲ μὲν ὑπάρχει πατρὶς καὶ πατρικὸς οἶκος
καὶ ἀπόλαυσις τῆς ζωῆς καὶ σχέσις φίλων,
ἐγὼ ὅμως οὖσα ἔρημος, ἐστερημένη πατρίδος περιφρονοῦμαι
ὑπὸ τοῦ ἀνδρός, ἁρπαγεῖσα ἐκ βαρβαρικῆς γῆς,
οὔτε μητέρα, οὔτε ἀδελφόν, οὔτε συγγενῆ
ἔχουσα, πρὸς οὓς καταφυγοῦσα ἐκ τῆς παρούσης δυστυχίας
Τόσου δὲ μόνον θέλω νὰ τύχω παρὰ σοῦ, [ν ἀπαλλαγῶ.
ἂν ἐξευρεθῇ μέσον τι καὶ τρόπος
ὁ σύζυγός νὰ τιμωρηθῇ ἐπίσης διὰ τὰς δυστυχίας ταύτας
καὶ ὁ δώσας εἰς αὐτὸν τὴν θυγατέρα ὡς σύζυγον, καὶ ἐκείνη,
[ἥτις ἔλαβεν αὐτόν,
νὰ σιωπᾷς. Διότι ἡ γυνὴ κατὰ μὲν τὰ ἄλλα εἶναι πλήρης φόβου
καὶ εἰς ἄμυναν ἀσθενὴς καὶ δειλὴ εἰς τὸ νὰ βλέπῃ ξίφος·
ὅταν ὅμως κατὰ τύχην ἔχῃ ἀδικηθῇ εἰς τὸν γάμον,
δὲν ὑπάρχει ἄλλη ψυχὴ κακουργοτέρα.

ΧΟΡ. Θὰ πράξω ταῦτα· διότι δικαίως θὰ τιμωρήσῃς τὸν σύζυγον,
ὦ Μήδεια. Δὲν παραξενεύομαι δὲ ὅτι σὺ λυπεῖσαι διὰ τὰς
[δυστυχίας.
Βλέπω δ' ὅτι καὶ ὁ Κρέων, ὁ βασιλεὺς ταύτης ἐδῶ τῆς χώρας,
ἔρχεται, ἄγγελος νέων (κακῶν) ἀποφάσεων.

ΚΡ. Πρὸς σὲ τὴν σκυθρωπὸν καὶ ἐναντίον τοῦ συζύγου ὀργιζομένην,
Μήδειαν, εἶπον νὰ ἐξέλθῃς ταύτης ἐδῶ τῆς χώρας
ἐξόριστος λαβοῦσα μεθ' ἑαυτῆς τὰ δύο τέκνα,
καὶ νὰ μὴ βραδύνῃς διόλου· διότι ἐγὼ τὴν διαταγὴν ταύτην
καὶ δὲν θὰ ἀπέλθω εἰς τὸν οἶκον πάλιν, [θὰ ἐκτελέσω
πρὶν ἂν σε διώξω ἔξω τῶν ὁρίων τῆς χώρας.

ΜΗΔ. Φεῦ· ἐξ ὁλοκλήρου ἡ δυστυχὴς καταστρέφομαι.
Διότι οἱ ἐχθροὶ βεβαίως πᾶν μέσον καταβάλλουσι,

κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ᾽ ὅμως,
τίνος μ᾽ ἕκατι γῆς ἀποστέλλεις, Κρέον;

ΚΡΕΩΝ. Δέδοικά σ᾽, οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ᾽ ἀνήκεστον κακόν.
Συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπεῖ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ᾽ ἀπειλεῖν σ᾽, ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. Ταῦτ᾽ οὖν πρὶν παθεῖν φυλάξομαι.

Κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπεχθέσθαι, γύναι,
ἢ μαλθακισθένθ᾽ ὕστερον μέγα στένειν.

ΜΗΔΕΙΑ. Φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ᾽ εἴργασται κακά.
Χρὴ δ᾽ οὔποθ᾽ ὅστις ἀρτίφρων πέφυκ᾽ ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ᾽ αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανεῖ.
Ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἰμ᾽ ἐπίφθονος,
[τοῖς δ᾽ ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,]
τοῖς δ᾽ αὖ προσάντης· εἰμὶ δ᾽ οὐκ ἄγαν σοφή.
Σὺ δ᾽ αὖ φοβεῖ με, μή τι πλημμελὲς πάθῃς·
οὐχ ὧδ᾽ ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ᾽ εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Τί γὰρ σύ μ᾽ ἠδίκηκας; ἐξέδου κόρην,
ὅτῳ σε θυμὸς ἦγεν. Ἀλλ᾽ ἐμὸν πόσιν
μισῶ· σὺ δ᾽, οἶμαι, σωφρονῶν ἔδρας τάδε.

καὶ δὲν ὑπάρχει εὔκολον μέσον πρὸς ἀπαλλαγὴν ἀπὸ τῆς δυστυ- [χίας.
Ἂν καὶ ἀδικοῦμαι, ὅμως θὰ ἐρωτήσω,
διὰ ποίαν αἰτίαν με ἐκδιώκεις τῆς χώρας, ὦ Κρέον ;

ΚΡ. Σὲ φοβοῦμαι, οὐδόλως πρέπει ν' ἀποκρύπτω τοὺς λόγους,
μήπως μοι πράξῃς ἀθεράπευτον κακὸν κατὰ τῆς θυγατρός μου.
Συντείνουσι δὲ πολλὰ εἰς τὸ νὰ διεγείρωσι τὸν φόβον τοῦτον·
σοφὴ εἶσαι ἐκ φύσεως καὶ εἰδήμων πολλῶν κακῶν,
λυπεῖσαι δέ, διότι εἶσαι ἐστερημένη τῆς κλίνης τοῦ ἀνδρός·
ἀκούω δὲ ὅτι σὺ ἀπειλεῖς, καθὼς μοι ἀναγγέλλουσιν,
ὅτι εἰς τὸν πενθερὸν καὶ εἰς τὸν γαμβρὸν καὶ εἰς τὴν νύμφην
θὰ πράξῃς κακόν τι. Ἀπὸ ταῦτα λοιπὸν πρὶν πάθω θὰ προφυ- [λαχθῶ.
Εἶναι δὲ προτιμότερον εἰς ἐμὲ τώρα νὰ μισῶμαι ὑπὸ σοῦ, ὦ γύ- [ναι,
παρὰ ὑποχωρήσας κατόπιν πολὺ νὰ στενάζω.

ΜΗΔ. Φεῦ φεῦ·
οὐχὶ πρώτην φορὰν τώρα, ἀλλὰ πολλάκις, ὦ Κρέον,
μὲ ἔβλαψεν ἡ φήμη καὶ μεγάλας συμφορὰς ἔχει προξενήσει.
Οὐδέποτε δὲ πρέπει ὅστις εἶναι ἐκ φύσεως συνετὸς ἄνθρωπος
νὰ ἐκπαιδεύῃ τοὺς παῖδάς του, ὥστε νὰ γίνωνται λίαν σοφοί·
διότι ἐκτὸς τῆς ἄλλης ὀκνηρίας, τὴν ὁποίαν ἔχουσι,
δυσμενῆ φθόνον ἐκ μέρους τῶν πολιτῶν κτῶνται.
Διότι, εἰς τοὺς ἀμαθεῖς μέν, ἐὰν λέγῃς νέας σοφίας,
θὰ φανῇς ὅτι εἶσαι ἐκ φύσεως ἄχρηστος καὶ οὐχὶ σοφός·
ἀπὸ τοὺς νομίζοντας δὲ πάλιν ὅτι γνωρίζουσί τι σοφόν,
θεωρηθεὶς σοφώτερος λυπηρὸς θὰ φανῇς εἰς τὴν πόλιν.
Καὶ ἐγὼ δὲ ἡ ἰδία μετέχω τῆς τύχης ταύτης (τῶν σοφῶν)·
Διότι, ἐπειδὴ εἶμαι σοφή, εἰς ἄλλους μὲν εἶμαι μισητή,
εἰς ἄλλους δὲ ἥσυχος, εἰς ἄλλους δὲ τοὐναντίον,
εἰς ἄλλους δὲ πάλιν ὀχληρά· δὲν εἶμαι ὅμως παρὰ πολὺ σοφή.
Σὺ δ' ἀφ' ἑτέρου με φοβεῖσαι, μήπως πάθῃς κακόν τι·
δὲν ἔχει οὕτω τὸ πρᾶγμα εἰς ἐμέ, μή με φοβῆσαι, ὦ Κρέον,
ὥστε εἰς ἄνδρας βασιλεῖς νὰ πράττω βλάβην.
Διότι κατὰ τί σύ με ἔχεις ἀδικήσει ; ὑπάνδρευσας τὴν κόρην,
μ' ὃν τινα ἡ καρδία σου ἤθελεν. Ἀλλὰ τὸν σύζυγόν μου [σου,
μισῶ· σὺ δέ, νομίζω, ὀρθῶς σκεπτόμενος ἔπραξας ταῦτα.

Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν·
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν. Καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.

ΚΡΕΩΝ. Λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' εἴσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν·
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.

ΜΗΔΕΙΑ. Μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.

ΚΡΕΩΝ. Λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.

ΜΗΔΕΙΑ. Ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσει λιτάς;

ΚΡΕΩΝ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.

ΜΗΔΕΙΑ. Ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.

ΚΡΕΩΝ. Πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πόλις.

ΜΗΔΕΙΑ. Φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

ΚΡΕΩΝ. Ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.

ΜΗΔΕΙΑ. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.

ΚΡΕΩΝ. Ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.

ΜΗΔΕΙΑ. Πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.

ΚΡΕΩΝ. Τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσει βίᾳ.

ΜΗΔΕΙΑ. Μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον—

ΚΡΕΩΝ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.

ΜΗΔΕΙΑ. Φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.

ΚΡΕΩΝ. Τί δ' αὖ βιάζει κοὐκ ἀπαλλάσσει χθονός;

ΜΗΔΕΙΑ. Μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ

Καὶ τώρα σὺ μὲν νὰ εὐτυχῇς δὲν φθονῶ·
νυμφεύετε, εἴθε νὰ εὐτυχῆτε· ἀλλ' ὅμως ταύτην ἐδῶ τὴν χώ-
ἀφήσατέ με νὰ κατοικῶ. Διότι, ἂν καὶ ἔχω ἀδικηθῆ, [ραν
θὰ σιωπήσω, ὑποχωροῦσα εἰς τοὺς ἰσχυροτέρους.

ΚΡ. Λέγεις μαλακοὺς κατὰ τὴν ἀκοὴν λόγους, ἀλλ' ἐντὸς τῆς
φοβοῦμαι μήπως σκεφθῇς κακόν τι·· [διανοίας σου
κατὰ τοσοῦτον δὲ ὀλιγώτερον ἢ πρότερον ἔχω πεποίθησιν εἰς σέ·
διότι γυνὴ ὀξύθυμος, ἐπίσης δὲ καὶ ἀνήρ, [λὸς σοφός.
εἶναι εὐκολώτερος ὥστε νὰ τον ἐπιτηρῇ τις παρὰ σιωπη-
'Αλλ' ἔξελθε ὅσον τὸ δυνατὸν τάχιστα, μὴ λέγε ἀνωφελεῖς λό-
ἐπειδὴ ταῦτα εἶναι ἀποφασισμένα, καὶ ἐξάπαντος δὲν [γους,
θὰ μείνῃς πλησίον ἡμῶν, ἐνῷ εἶσαι ἐχθρὰ εἰς ἐμέ.

ΜΗΔ. Μή, θερμῶς σε ἱκετεύω καὶ ἐν ὀνόματι τῆς νεονύμφου κόρης σου.

ΚΡ. Λόγους δαπανᾷς ἀνωφελῶς· διότι οὐδέποτε θά με πείσῃς.

ΜΗΔ. 'Αλλὰ θά με ἐκδιώξῃς καὶ οὐδόλως θὰ σεβασθῇς τὰς ἱκεσίας;

ΚΡ. (Ναί) Διότι δὲν ἀγαπῶ σὲ περισσότερον ἀπὸ τὸν οἶκόν μου.

ΜΗΔ. Ὦ πατρίς, πόσον τώρα πολύ σε ἐνθυμοῦμαι.

ΚΡ. (Δικαίως) Διότι καὶ ἐγὼ βέβαια μετὰ τὰ τέκνα μου μάλιστα
[ἀγαπῶ τὴν πατρίδα.

ΜΗΔ. Φεῦ φεῦ, πόσον μέγα κακὸν εἶναι οἱ ἔρωτες εἰς τοὺς ἀνθρώπους.

ΚΡ. Καθώς, νομίζω, καὶ αἱ περιστάσεις ἤθελον τύχει.

ΜΗΔ. Ὦ Ζεῦ, εἴθε νὰ μή σε διαφύγῃ ποῖος εἶναι ὁ αἴτιος τούτων

ΚΡ. Φύγε, ὦ ἀθλία, καὶ ἀπάλλαξόν με ἐνοχλήσεων. [τῶν κακῶν.

ΜΗΔ. Ἡμεῖς ἔχομεν ἐνοχλήσεις (δυστυχοῦμεν) καὶ δὲν στερούμεθα
[ἐνοχλήσεων (δυστυχιῶν).

ΚΡ. Ταχέως θὰ ἐκδιωχθῇς βιαίως ὑπὸ τῆς χειρὸς τῶν ἀκολούθων.

ΜΗΔ. Μὴ θερμῶς παρακαλῶ, πράξῃς τοῦτο, ἀλλὰ σε παρακαλῶ,

ΚΡ. 'Ενόχλησιν θὰ προξενήσῃς, ὡς φαίνεσαι, ὦ γύναι. [ὦ Κρέον—

ΜΗΔ. Θὰ φύγωμεν· δὲν σε ἱκέτευσα νὰ τύχω τούτου παρὰ σοῦ
[(νὰ μείνω).

ΚΡ. 'Αλλὰ διατί λοιπὸν μεταχειρίζεσαι βίαν καὶ δὲν ἀπέρχεσαι
[ἐκ τῆς χώρας;

ΜΗΔ. Μίαν ἡμέραν τὴν σήμερον ἄφησόν με νὰ μείνω
καὶ νὰ παρασκευάσω τὰ μέσα, διὰ τῶν ὁποίων θὰ φύγωμεν,
καὶ τὰ ἐπιτήδεια εἰς τοὺς παῖδάς μου, ἀφοῦ ὁ πατὴρ

οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
Οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
Τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.

ΚΡΕΩΝ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξει τοῦδε· προυννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανεῖ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
Νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν.
Οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.

ΧΟΡΟΣ. Δύστανε γύναι, φεῦ φεῦ, μελέα
τῶν σῶν ἀχέων· ποῖ ποτε τρέψει;
τίνα πρὸς ξενίαν ἢ δόμον ἢ χθόνα
σωτῆρα κακῶν [ἐξευρήσεις];
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗΔΕΙΑ. Κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.

Ἔτ' εἰσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;

οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν.
Ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
ὥστ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἐφῆκεν ἡμέραν
μεῖναί μ' ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς

οὐδόλως φροντίζει νὰ εὕρῃ μέσα εἰς τὰ τέκνα.
Λυπήθητι δὲ αὐτούς· καὶ σὺ πατὴρ τέκνων
εἶσαι· φυσικὸν δὲ εἶναι νὰ ἔχῃς εὔνοιαν (πρὸς τὰ τέκνα).
Διότι ὡς πρὸς τὰ ἐμαυτῆς δὲν φροντίζω, ἂν θὰ ἐξορισθῶ,
ἀλλ' ὅμως κλαίω δι' ἐκείνους, ἐπειδὴ εἶναι δυστυχεῖς.

ΚΡ. Οὐδαμῶς τὸ φρόνημά μου φύσει εἶναι τυραννικόν,
πολλάκις δέ, ὡς εἶναι γνωστόν, ἐπειδὴ εἶμαι εὔσπλαγχνος,
καὶ τώρα βλέπω μέν, ὦ γύναι, ὅτι σφάλλομαι, [ἔχω βλαφθῆ·
ἀλλ' ὅμως θὰ ἐπιτύχῃς τούτου· προλέγω δὲ εἰς σέ,
ἂν τὸ φῶς τοῦ ἡλίου τῆς ἐπομένης ἡμέρας ἴδῃ σε
καὶ τοὺς παῖδάς σου ἐντὸς τῶν ὁρίων τῆς χώρας ταύτης,
θὰ ἀποθάνῃς· ὁ λόγος οὗτος ἔχει λεχθῆ ἀληθής.
Τώρα δέ, ἂν πρέπῃ νὰ μένῃς, μένε ἐπὶ μίαν ἡμέραν.
Διότι δὲν θὰ πράξῃς κακόν τι ἐξ ἐκείνων, τὰ ὁποῖα φοβοῦμαι.

ΧΟΡ. Δυστυχὴς γυνή, φεῦ φεῦ, ἀθλία,
διὰ τὰς λύπας σου· ποῦ ἄρά γε θὰ ὑπάγῃς;
πρὸς ποίαν φιλοξενίαν ἢ τίνα οἶκον ἢ γῆν
θὰ εὕρῃς σωτῆρα τῶν δυστυχιῶν;
εἰς πόσην δεινὴν τρικυμίαν ὁ θεός,
ὦ Μήδεια, δυστυχιῶν σ' ἔρριψεν·

ΜΗΔ. Πανταχόθεν κακῶς ἔχουσι τὰ πράγματα· τίς θὰ το ἀρνηθῇ;
ἀλλ' οὐδόλως (ἔχουσι κακῶς) ταῦτα διὰ τῆς ἀποφάσεως τοῦ
[Κρέοντος νὰ μείνω μίαν ἡμέραν, μὴ νομίζετε τοῦτο ἀκόμη·
Ὑπάρχουσιν ἀκόμη ἀγῶνες εἰς τοὺς νεονύμφους
καὶ εἰς τοὺς νυμφεύσαντας οὐχὶ μικρὰ παθήματα.
Διότι νομίζεις ὅτι ἤθελόν ποτε κολακεύσει τοῦτον,
ἂν (δὲν τον ἐκολάκευον) θέλουσα νὰ ὠφελῶμαί τι ἢ νὰ μη-
χανῶμαι (κακόν τι);
οὐδὲ ἤθελον χαιρετίσει οὐδὲ ἱκετεύσει αὐτόν.
Οὗτος ὅμως εἰς τόσην μωρίαν ἔφθασεν,
ὥστε, ἐνῷ ἦτο δυνατὸν εἰς αὐτὸν νὰ καταστρέψῃ τὰ σχέδιά
ἐκδιώκων με τῆς χώρας, ἐπέτρεψε ταύτην τὴν ἡμέραν [μου
νὰ μείνω, ἐν ᾗ τρεῖς ἐκ τῶν ἐχθρῶν μου νεκροὺς
θὰ κάμω, τὸν πατέρα καὶ τὴν κόρην καὶ τὸν σύζυγόν μου.
Ἂν καὶ ἔχω δὲ πολλὰ μέσα νὰ φονεύσω αὐτούς,

οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος
σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν

σοφοὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
Εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι· μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,

πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς, ἃ πάσχεις· οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖς τ' Ἰάσονος γάμοις,
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
Ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, εἰς μὲν ἔσθλ' ἀμηχανώταται,

δὲν γνωρίζω ὁποῖον κατὰ προτίμησιν νὰ μεταχειρισθῶ, ὦ φίλαι,
ποῖον ἐκ τῶν δύο ν' ἀνάψω μὲ πῦρ τὸ νυμφικὸν δωμάτιον,
ἢ ἠκονημένον ξίφος νὰ ἐμπήξω διὰ τοῦ ἥπατος
εἰσελθοῦσα εἰς τὸν οἶκον μετὰ σιγῆς, ὅπου εἶναι ἐστρωμένη ἡ
'Αλλ' ἕν μοι εἶναί πως δύσκολον· ἂν συλληφθῶ [κλίνη.
εἰσερχομένη εἰς τὸν οἶκον καὶ μηχανωμένη (κακόν τι),
ἀποθανοῦσα θὰ προξενήσω γέλωτα εἰς τοὺς ἐχθρούς μου.
Κάλλιστον εἶναι (ἀκολουθοῦσα) τὴν εὐθεῖαν ὁδόν, ὅπου ἐκ
[φύσεως εἴμεθα
κατ' ἐξοχὴν σοφαί, νὰ φονεύσω αὐτοὺς διὰ φαρμάκων.
Ἔστω·
Καὶ λοιπὸν ἂς ὑποθέσω ὅτι ἔχουσιν ἀποθάνει· τίς πόλις θά με
τίς τόπον ἀσφαλῆ καὶ οἶκον παρέχοντα ἐγγύησιν [δεχθῇ ;
ξένος παρασχὼν θὰ σώσῃ τὸ σῶμά μου (ἐμέ) ;
δὲν ὑπάρχει· περιμείνασα λοιπὸν ἀκόμη ὀλίγον χρόνον,
ἂν μέν τις ὑπερασπιστὴς ἀσφαλὴς παρουσιασθῇ εἰς ἡμᾶς,
θὰ ἐκτελέσω τὸν φόνον τοῦτον δολίως καὶ μετὰ σιγῆς·
ἂν ὅμως δυσκολία τις ἀκατανίκητός με ἐμποδίσῃ,
μόνη μου λαβοῦσα ξίφος, καὶ ἂν μέλλω ν' ἀποθάνω,
θὰ φονεύσω αὐτούς, καὶ θὰ προβῶ εἰς γενναῖον τόλμημα.
Διότι μὰ τὴν δέσποιναν, τὴν ὁποίαν ἐγὼ σέβομαι
κατ' ἐξοχὴν ἀπὸ ὅλους (τοὺς θεοὺς) καὶ βοηθὸν ἔλαβον,
τὴν Ἑκάτην, τὴν ἱδρυμένην εἰς τὸ ἐσώτατον μέρος τῆς ἑστίας
οὐχὶ χαίρων τις ἐξ αὐτῶν θὰ λυπήσῃ τὴν καρδίαν μου. [μου,
Πικροὺς δ' ἐγὼ καὶ προξένους θρήνου θὰ καταστήσω τοὺς
[γάμους,
πικρὰν δὲ τὴν ἐπιγαμίαν καὶ τὴν δίωξίν μου ἐκ τῆς χώρας.
'Αλλ' ἐμπρός· μὴ παραλείπῃς τίποτε ἐξ ὅσων γνωρίζεις,
ὦ Μήδεια, ἐπινοοῦσα καὶ μηχανωμένη·
προχώρει εἰς τὸ φοβερόν· τώρα εἶναι ἀγὼν γενναιοψυχίας.
Βλέπεις, ὅσα πάσχεις· δὲν πρέπει νὰ καταγελᾶσαι·
ὑπὸ τῶν Σισυφείων (δολίων) καὶ ἀπατηλῶν γάμων τοῦ Ἰάσο-
ἀφοῦ κατάγεσαι ἀπὸ ἀγαθὸν πατέρα καὶ ἀπὸ τὸν Ἥλιον. [νος,
Γνωρίζεις δέ· ἐκτὸς ὅμως τούτου καὶ ἐκ φύσεως εἴμεθα
αἱ γυναῖκες, εἰς μὲν τὰ καλὰ ἀφυέσταται,

κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΣΤΑΣΙΜΟΝ Α'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί,
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
Ἀνδράσι μὲν δόλιαι βουλαί θεῶν τ'
οὐκέτι πίστις ἄραρε.
Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν
στρέψουσι φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.

Ἀντιστροφὴ α'.

Μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδῶν
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντ-
άχησ' ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ' αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Στροφὴ β'.

Σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
μαινομένᾳ κραδίᾳ, διδύμας ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονί, τᾶς ἀνάνδρου
κοίτας ὀλέσασα λέκτρον,
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνει.

Ἀντιστροφὴ β'.

Βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς
Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ' ἀνέπτα.
Σοὶ δ' οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι

ἐργάτιδες ὅμως ὅλων τῶν κακῶν ἐμπειρόταται.

ΣΤΑΣΙΜΟΝ Α'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Τὰ ὕδατα τῶν ἱερῶν ποταμῶν ῥέουσι πρὸς τὰ ἄνω,
καὶ ἡ δικαιοσύνη καὶ ὅλα εἶναι ἀντεστραμμένα.
Αἱ μὲν σκέψεις τῶν ἀνδρῶν εἶναι δόλιαι καὶ ἡ πρὸς τοὺς θεοὺς
δι' ὅρκου γενομένη πίστις δὲν εἶναι πλέον σταθερά.
Τὴν δὲ ἀδοξίαν τοῦ βίου μου, ὥστε νὰ γείνῃ δόξα,
θὰ στρέψωσιν αἱ φῆμαι·
ἔρχεται τιμὴ εἰς τὸ φῦλον τῶν γυναικῶν·
δὲν θὰ κατέχῃ πλέον τὰς γυναῖκας φήμη κακὰ διασπείρουσα.

Ἀντιστροφὴ α'.

Αἱ δὲ ποιήσεις τῶν παλαιῶν ποιητῶν θὰ παύσωσιν
ἀπὸ τοῦ νὰ διασύρωσι τὴν ἀπιστίαν μου.
(Καὶ ταῦτα ἐγένοντο) Διότι οὐχὶ κατὰ τὴν γνώμην ἡμῶν τῆς
τὴν θείαν ᾠδὴν (εἰς τοὺς ἄνδρας) ἐδωρήσατο [λύρας
ὁ Ἀπόλλων, ὁ δωρητὴς τῶν ᾀσμάτων· διότι ἐναντίους
(ἂν εἰς ἐμὲ ἤθελε δωρήσει ταύτην) ἤθελον ποιήσει ψόγους
κατὰ τοῦ γένους τῶν ἀνδρῶν· ὁ δὲ μακρὸς βίος παρέχει
ἄφθονον ὕλην νὰ κατηγορήσῃ τις τὰ ἡμέτερα καὶ τὰ τῶν
[ἀνδρῶν.

Στροφὴ β'.

Σὺ δ' ἐκ μὲν τῶν πατρικῶν οἴκων ἀπέπλευσας
μὲ μανιώδη καρδίαν, περάσασα τοὺς διπλοῦς τῆς θαλάσσης
βράχους· ἐπὶ ξένης δὲ
κατοικεῖς χώρας, τὴν ἄνευ ἀνδρὸς μείνασαν
κλίνην ἀπολέσασα,
ἀθλία, βιαίως δ' ἐκ τῆς χώρας
φεύγεις ἄτιμος.

Ἀντιστροφὴ β'.

Ὁ δὲ σεβασμὸς πρὸς τοὺς ὅρκους ἔχει ἐκλείψει, καὶ πλέον
[ἐντροπὴ
εἰς τὴν μεγάλην Ἑλλάδα δὲν μένει, ἀλλ' αὕτη εἰς τὸν αἰθέρα
Εἰς σὲ δὲ οὔτε πατρικοὶ οἶκοι ὑπάρχουσι, [ἐξηφανίσθη.
δυστυχής, ὥστε νὰ ἀπαλλαγῇς

μόχθων πάρα, τῶν δὲ λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοις ἐπανέστα.

ΕΠΕΙΣΟΔΙΟΝ Β'.

ΙΑΣΩΝ. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν

κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων εἵνεκ' ἐκπεσεῖ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ' Ἰάσων ὡς κάκιστός ἐστ' ἀνήρ.
ἃ δ' εἰς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
Κἀγὼ μὲν ἀεὶ βασιλέων θυμουμένων
ὀργὰς ἀφῄρουν καί σ' ἐβουλόμην μένειν·
σὺ δ' οὐκ ἀνίεις μωρίας, λέγουσ' ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσεῖ χθονός.

Ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σὸν δὲ προσκοπούμενος, γύναι,
ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς
μήτ' ἐνδεής του· πόλλ' ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὐτῇ. Καὶ γὰρ εἰ σύ με στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

ΜΗΔΕΙΑ. Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν,
ἦλθες πρὸς ἡμᾶς, ἦλθες ἔχθιστος γεγὼς
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει;
οὔτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'· εὖ δ' ἐποίησας μολών·

ἐκ τῶν πόνων, τῶν δὲ γάμων (σου)
ἄλλη βασίλισσα ὑπερισχύσασα
εἰς τοὺς οἴκους ἀποκατεστάθη.

ΕΠΕΙΣΟΔΙΟΝ Β΄.

ΙΑΣ. Οὐχὶ τώρα πρώτην φορὰν καλῶς εἶδον, ἀλλὰ πολλάκις
ἡ ὑπερβολικὴ ὀργὴ πόσον μέγα κακὸν εἶναι.
Ἐνῷ σὺ ἐπὶ παραδείγματι ἦτο δυνατὸν τὴν χώραν ταύτην [καὶ τὸν οἶκον (τοῦτον) νὰ κατοικῇς
ἄνευ μεμψιμοιρίας ὑποφέρουσα τὰς ἀποφάσεις τῶν ἀνωτέρων,
ἕνεκα λόγων ἀνωφελῶν θὰ ἐξορισθῇς ἐκ τῆς χώρας.
Καὶ εἰς ἐμὲ μὲν οὐδεμία φροντίς· μὴ παύσῃς ποτὲ
λέγουσα ὅτι ὁ Ἰάσων εἶναι κάκιστος ἀνήρ·
ὅσα ὅμως ἀφορῶντα τοὺς τυράννους εἶναι εἰρημένα ὑπὸ σοῦ,
νόμιζε ὅτι ἡ ὅλη ὠφέλεια τούτων εἶναι ὅτι τιμωρεῖσαι δι' ἐξο-
Καὶ ἐγὼ μὲν πάντοτε, ὁσάκις ὠργίζοντο οἱ βασιλεῖς, [ρίας.
προσεπάθουν νὰ κατευνάζω τὴν ὀργήν των καὶ ἤθελον νὰ μένῃς·
σὺ ὅμως δὲν ἄφηνες τὰς μωρίας, πάντοτε κακολογοῦσα
τοὺς βασιλεῖς· διὰ τοῦτο βεβαίως θὰ διωχθῇς ἐκ τῆς χώρας.

Ὅμως δὲ καὶ ὑπὸ τοιαύτας περιστάσεις μὴ ἀπαυδήσας διὰ
ἔρχομαι, ἀλλὰ προνοῶν περὶ σοῦ, ὦ γύναι, [τοὺς οἰκείους μου
ἵνα μήτε ἄνευ χρημάτων μετὰ τῶν τέκνων σου ἐξορισθῇς
μήτε στερουμένη τινός (πράγματος)· πολλὰς ἡ ἐξορία συνε-
δυστυχίας μεθ' ἑαυτῆς. Διότι καὶ ἂν σύ με μισῇς, [πιφέρει
δὲν θὰ δυνηθῶ ποτε νὰ σκέπτωμαι τὸ κακόν σου.

ΜΗΔ. Ὦ παγκάκιστε, διότι τοῦτο δύναμαι νὰ εἴπω εἰς σὲ
διὰ τῆς γλώσσης ὡς μεγίστην ὕβριν ἀναφορικῶς πρὸς τὴν
ἦλθες πρὸς ἡμᾶς, ἦλθες ἐνῷ εἶσαι μισητότατος [ἀνανδρίαν σου,
καὶ εἰς τοὺς θεοὺς καὶ εἰς ἐμὲ καὶ εἰς ὅλον τὸ γένος τῶν ἀν-
τοῦτο βεβαίως δὲν εἶναι θάρρος οὐδὲ γενναιότης, [θρώπων;
τὸ νὰ βλέπῃ τις κατὰ πρόσωπον φίλους, τοὺς ὁποίους ἔβλα-
ἀλλ' ἡ μεγίστη τῶν μεταξὺ τῶν ἀνθρώπων νόσων [ψεν,
ὅλων, ἡ ἀναίδεια· καλῶς δὲ ἔπραξας ἐλθών·

ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσει κλύων.

Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην.
Δράκοντα δ', ὃς πάγχρυσον ἀμπέχων δέρας
σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,
κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα,
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν,
παίδων ὑπ' αὐτοῦ, πάντα δ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προὔδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους·
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμ' ἐν ἀνθρώποις τὰ νῦν,
ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ' ἡμάρτομεν.

Ἄγ'· ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι—
δοκοῦσα μέν τι πρός γε σοῦ πράξειν καλῶς;
ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανεῖ—

νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,

διότι καὶ ἐγὼ κατηγορήσασα σὲ θὰ ἀνακουφισθῶ
κατὰ τὴν ψυχὴν καὶ σὺ θὰ λυπηθῇς ἀκούων.

Ἀπὸ τὰ πρῶτα δὲ (συμβάντα) θὰ ἀρχίσω κατ' ἀρχὰς νὰ λέγω.
Σὲ ἔσωσα ὡς γνωρίζουσιν ὅσοι ἐκ τῶν Ἑλλήνων
ἐπέβησαν ὁμοῦ εἰς τὸ ἴδιον σκάφος τῆς Ἀργοῦς,
ὅταν ἐπέμφθης νὰ ἐπιθέσῃς ἐπὶ τῶν πυριπνόων ταύρων
τὰς ζεύγλας καὶ νὰ σπείρῃς θανάσιμον ἀγρόν.
Τὸν δὲ δράκοντα, ὁ ὁποῖος καλύπτων τὸ ὁλόχρυσον δέρας
διὰ πολυπλόκων ἑλιγμῶν ἔσωζε ἄυπνος ὤν,
φονεύσασα παρουσίασα εἰς σὲ σωτήριον φῶς.
Ἡ ἰδία δὲ τὸν πατέρα καὶ τοὺς οἴκους μου προδώσασα
ἦλθον εἰς τὴν τοῦ Πηλίου Ἰωλκὸν
μετὰ σοῦ (ἀκολουθήσασα) μᾶλλον τὴν καρδίαν ἢ τὴν ὀρθὴν σκέψιν,
καὶ τὸν Πελίαν ἐφόνευσα, καθὼς εἶναι λυπηρότατον νὰ φο-
[νευθῇ τις
ὑπὸ τῶν παίδων αὐτοῦ, πάντα δὲ φόβον ἀφῄρεσα (ἀπὸ σοῦ).
Καὶ ταῦτα ὑφ' ἡμῶν, ὦ κάκιστε ἐκ τῶν ἀνδρῶν, εὐεργετηθεὶς
ἐπρόδωκας ἡμᾶς, νέαν δὲ σύζυγον ἔλαβες,
ἐνῷ ἔχουσι γεννηθῇ τέκνα· διότι, ἐὰν ἐστερεῖσο τέκνων,
θὰ ἦτο συγγνωστὸν εἰς σὲ νὰ ἐπιθυμήσῃς ταύτην τὴν γυναῖκα·
ἡ δὲ πίστις τῶν ὅρκων ἐχάθη, καὶ δὲν δύναμαι νὰ ἐννοήσω·
ἢ πιστεύεις ὅτι οἱ τότε θεοὶ δὲν ἐξουσιάζουσι πλέον,
ἢ ὅτι νέοι νόμοι ὑπάρχουσι τώρα μεταξὺ τῶν ἀνθρώπων,
ἀφοῦ βέβαια ἔχεις συνείδησιν ὅτι δὲν ἐτήρησας τοὺς ὅρκους σου
Φεῦ δεξιὰ χείρ, τὴν ὁποίαν σὺ πολλάκις ἐλάμβανες, [πρὸς ἐμέ.
καὶ ταῦτα ἰδῶ τὰ γόνατα, πόσον ματαίως ἐμολύνθημεν
ὑπὸ κακοῦ ἀνδρός, ἀπετύχομεν δὲ ὅσων ἠλπίζομεν.

Ἔλα· διότι θὰ ἀνακοινώσω εἰς σὲ ὡς πρὸς φίλον —
οὐχὶ μὲν διότι νομίζω ὅτι θὰ ὠφεληθῶ βέβαια ὑπὸ σοῦ τι,
ἀλλ' ὅμως (θά το πράξω), διότι ἐρωτηθεὶς θὰ φανῇς αἰσχρό-
[τερος—
τώρα ποῦ νὰ ὑπάγω; ποῖον ἐκ τῶν δύο πρὸς τὸν οἶκον τοῦ
[πατρός,

οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.

Ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.

Τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ σεμνὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

ΧΟΡΟΣ. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

ΙΑΣΩΝ. Δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
Ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.

τὸν ὁποῖον καθὼς καὶ τὴν πατρίδα προδώσασα χάριν σοῦ ἦλθον;
ἢ πρὸς τὰς δυστυχεῖς θυγατέρας τοῦ Πελίου: καλῶς βέβαια
θὰ μὲ ἐδέχοντο εἰς τὸν οἶκόν των (αὗται), τῶν ὁποίων τὸν πα-
[τέρα ἐφόνευσα.
Διότι ἡ θέσις μου ἔχει ὡς ἑξῆς· εἰς μὲν τοὺς συγγενεῖς μου
ἔχω γείνει ἐχθρά, ὅσους δὲ δὲν ἔπρεπε
νὰ βλάπτω, χαριζομένη εἰς σὲ ἔχω πολεμίους.
[Ἑλλάδα
Διὰ τοῦτο βεβαίως εἰς πολλὰς (γυναῖκας) ζηλευτὴν ἀνὰ τὴν
με κατέστησας εἰς ἀνταμοιβὴν τούτων· θαυμάσιον δέ σε
σύζυγον ἔχω καὶ πιστὸν ἡ δυστυχὴς ἐγώ,
ἂν βέβαια φύγω ἐκ τῆς χώρας ἐκδιωχθεῖσα,
ἄνευ φίλων, μόνη μετὰ μόνων τῶν τέκνων μου,
ὅπερ βεβαίως εἶναι καλὸν ὄνειδος εἰς (σὲ) τὸν νεόνυμφον,
νὰ περιπλανῶνται οἱ πτωχοὶ παῖδες καὶ ἐγώ, ἡ ὁποία σε ἔσωσα.
Ὦ Ζεῦ, διατί λοιπὸν τοῦ μὲν χρυσοῦ, ὅστις ἤθελεν εἶναι κί-
σαφεῖς ἀποδείξεις εἰς τοὺς ἀνθρώπους ἔδωκας, [βδηλος,
τῶν δὲ ἀνθρώπων πῶς πρέπει νὰ γνωρίζωσι τὸν κακὸν
οὐδεμία ἀπόδειξις φύσει ὑπάρχει ἐν τῷ σώματι;

ΧΟΡ. Ἱκανῶς φοβερὰ ἡ ὀργὴ καὶ δυσθεράπευτος γίνεται,
ὅταν οἱ συγγενεῖς ἐρίζωσι πρὸς τοὺς συγγενεῖς.

ΙΑΣ. Πρέπει, ὡς φαίνεται, νὰ μὴ φανῶ ἀνίκανος κατὰ τὸ λέγειν,
ἀλλ' ὡς πλοίου συνετὸς πηδαλιοῦχος
διὰ τοῦ ἄκρου τῶν ἱστίων νὰ ὑπεκφύγω
τὴν σὴν ἀκατάσχετον, ὦ γύναι, φλυαρίαν.
Ἐγὼ δέ, ἐπειδὴ καὶ παρὰ πολὺ μεγεθύνεις τὴν εὐεργεσίαν σου,
νομίζω ὅτι ἡ Κύπρις (Ἀφροδίτη) τοῦ ἐμοῦ πλοῦ [πους.
μόνη εἶναι σώτειρα καὶ ἀπὸ τοὺς θεοὺς καὶ ἀπὸ τοὺς ἀνθρώ-
Εἰς σὲ δὲ ὑπάρχει μὲν νοῦς λεπτός (νὰ ἐννοήσῃς τοῦτο), ἀλλ'
νὰ εἴπῃς, ὅτι ὁ Ἔρως σε ἠνάγκασε [ἀρνεῖσαι
μὲ τὰ ἀλάθητα βέλη του νὰ σώσῃς τὸ σῶμά μου.
Ἀλλὰ δὲν θὰ ἐξετάσω πολὺ ἀκριβῶς αὐτό·
διότι ὁπουδήποτε ὠφέλησας, καλῶς ἔχει.
Μεγαλυτέραν ὅμως (εὐεργεσίαν) ἀπὸ τὴν ἐμὴν σωτηρίαν
ἔχεις λάβει ἢ ἔχεις δώσει, καθὼς ἐγὼ θὰ εἴπω.

Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις
μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
Τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,

ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς ;
οὐχ, ᾗ σὺ κνίζει, σὸν μὲν ἐχθαίρων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
εἰς ταὐτὸ θείην καὶ ξυναρτήσας γένος
εὐδαιμονοῖμεν. Σοί τε γὰρ παίδων τί δεῖ ;
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ' ὀνῆσαι. Μῶν βεβούλευμαι κακῶς ;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
Ἀλλ' εἰς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης

Πρῶτον μὲν τὴν Ἑλληνικὴν ἀντὶ τῆς βαρβαρικῆς
κατοικεῖς γῆν καὶ γνωρίζεις δικαιοσύνην
καὶ νὰ ζῇς κατὰ τοὺς νόμους καὶ οὐχὶ κατ' ἀρέσκειαν τῶν
πάντες δὲ οἱ Ἕλληνες ἔμαθον ὅτι εἶσαι σοφὴ [ἰσχυρῶν·
καὶ ἐδοξάσθης· ἂν δὲ εἰς τὰ ἔσχατα τῆς γῆς
ὅρια κατῴκεις, δὲν θὰ ἐγίνετο λόγος περὶ σοῦ.
Εἴθε δὲ εἰς ἐμὲ τοὐλάχιστον μήτε χρυσὸς ἐν τῷ οἴκῳ μου νὰ
μήτε νὰ ψάλω ᾆσμα καλύτερον τοῦ Ὀρφέως, [ὑπάρχῃ
ἂν ἡ εὐτυχία δὲν ἤθελέ μοι γείνει γνωστή.
Τόσα μὲν περὶ τῶν εὐεργεσιῶν μου
εἶπον εἰς σέ· διότι σὺ προέβαλες διαγωνισμὸν τῶν λόγων.
Ὅσα ὅμως ἀναφερόμενα εἰς τοὺς μετὰ τῆς θυγατρὸς τοῦ βα-
[σιλέως γάμους πρὸς ὄνειδος εἶπας ἐναντίον μου,
ἐν τῇ πράξει ταύτῃ θὰ δείξω πρῶτον μὲν ὅτι εἶμαι συνετός,
ἔπειτα σώφρων, ἔπειτα μέγας φίλος εἰς σὲ
καὶ εἰς τὰ τέκνα μου· ἀλλὰ μένε ἥσυχος.
Ἀφοῦ ἀναχωρήσας ἐκ τῆς Ἰωλκοῦ ἦλθον ἐνταῦθα
σύρων μαζί μου πολλὰς βαρείας συμφοράς,
τί εὕρημα καλύτερον ἠδυνάμην νὰ εὕρω ἀπὸ τοῦτο
παρὰ νὰ νυμφευθῶ τὴν κόρην τοῦ βασιλέως ἐνῷ ἤμην ἐξόριστος;
Οὐχί, καθὼς σὺ ἐκ ζηλοτυπίας λέγεις, διότι μισῶ τὴν κλίνην σου,
εἶμαι δὲ κατειλημμένος ὑπὸ μεγάλης ἐπιθυμίας πρὸς νέαν σύ-
οὐδὲ διότι ἁμιλλῶμαι εἰς ἀπόκτησιν πολλῶν τέκνων· [ζυγον,
διότι ἀρκετὰ εἶναι τὰ γεννηθέντα οὐδὲ παραπονοῦμαι διὰ
ἀλλ' ἵνα μάλιστα ἔχωμεν τὰ μέσα τοῦ βίου [τοῦτο·
καὶ μὴ στερώμεθα, γνωρίζων ὅτι
ἀποφεύγει τὸν πτωχὸν πᾶς φίλος,
καὶ ἵνα ἀναθρέψω τὰ τέκνα μου ἀξίως τῆς οἰκογενείας μου
καὶ ἵνα γεννήσας ἀδελφοὺς εἰς τὰ ἐκ σοῦ τέκνα
συνενώσω αὐτοὺς καὶ συνδέσας τὸ γένος
εὐτυχῶμεν. Διότι καὶ εἰς σὲ οὐδεμία ἀνάγκη τέκνων ὑπάρχει
καὶ ἐμὲ ὠφελεῖ διὰ τῶν μελλόντων τέκνων
νὰ ὠφελήσω τὰ ζῶντα. Μήπως λοιπὸν ἔχω σκεφθῇ κακῶς ;
οὐδὲ σὺ ἤθελες ἰσχυρισθῇ τοῦτο, ἂν δέν σε ἐλύπει ὁ γάμος.
Ἀλλ' εἰς τόσην ἀνοησίαν ἔχετε φθάσει ὥστε, ὅταν μὲν εὐτυχῇ

εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε,
ἢν δ' αὖ γένηται ξυμφορά τις εἰς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. Χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
χοὔτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,

δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

ΜΗΔΕΙΑ. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
Ἐμοὶ γάρ, ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,

τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ
λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ' ἔπος.
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.

ΙΑΣΩΝ. Καλῶς γ' ἂν σὺν σὺ τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.

ΜΗΔΕΙΑ. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.

ΙΑΣΩΝ. Εὖ νυν τόδ' ἴσθι, μὴ γυναικὸς εἵνεκα
γῆμαί με λέκτρα βασιλέως, ἃ νῦν ἔχω,
ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.

ΜΗΔΕΙΑ. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος
μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

ΙΑΣΩΝ. Οἶσθ' ὡς μέτευξαι; καὶ σοφωτέρα φανεῖ·
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ,

ἡ κλίνη, νομίζετε αἱ γυναῖκες ὅτι ὅλα ἔχετε,
ἂν δ' ἀφ' ἑτέρου δυστυχία τις συμβῇ εἰς τὴν κλίνην,
τὰ ὠφελιμώτατα καὶ κάλλιστα πολεμιώτατα
θεωρεῖτε. Ἀλλ' ἔπρεπεν ἐξ οἱουδήποτε ἄλλου μέρους οἱ ἄνθρω-
νὰ τεκνοποιῶσι, νὰ μὴ ὑπῆρχε δὲ θῆλυ γένος· [ποι
ἐν τοιαύτῃ δὲ περιπτώσει δὲν θὰ ὑπῆρχε κανὲν κακὸν εἰς τοὺς
[ἀνθρώπους.

ΧΟΡ. Ἰᾶσον, καλῶς μὲν τοὺς λόγους τούτους κατὰ τὸ φαινόμενον εἶπας·
ἀλλ' ὅμως εἰς ἐμὲ τοὐλάχιστον, ἂν καὶ παρὰ τὴν θέλησίν μου
[θὰ εἴπω,
φαίνεσαι ὅτι προδώσας τὴν σύζυγόν σου δὲν πράττεις δίκαια.

ΜΗΔ. Βεβαίως κατὰ πολλὰ διαφωνῶ μὲ πολλοὺς ἐκ τῶν ἀνθρώπων.
Δηλαδὴ κατὰ τὴν γνώμην μου, ὅστις ἄδικος ὢν ἱκανὸς κατὰ τὸ
ἐκ φύσεως εἶναι, οὗτος εἶναι ἄξιος μεγίστης τιμωρίας· [λέγειν
διότι πεποιθὼς ὅτι διὰ τῆς γλώσσης αὐτοῦ τὴν ἀτιμίαν κα-
[λύπτει
τολμᾷ νὰ κακουργῇ· δὲν εἶναι ὅμως καὶ παρὰ πολὺ σοφὸς οὗτος.
Τοιουτοτρόπως καὶ σὺ μὴ προβάλῃς εἰς ἐμὲ τώρα λόγους καλοὺς
μηδὲ νὰ εἶσαι δεινὸς κατὰ τὸ λέγειν· διότι εἷς λόγος θά σε ῥίψῃ
Ἔπρεπεν, ἐὰν δὲν ἦσο κακός, ἀφοῦ με πείσῃς, [ἐκτάδην.
νὰ κάμῃς τὸν γάμον τοῦτον, οὐχὶ ὅμως κρυφίως ἀπὸ τοὺς φί-

ΙΑΣ. Καλῶς βέβαια σὺ θὰ ὑπεβοήθεις τὴν πρότασιν ταύτην, [λους.
ἂν ἤθελον εἰς σὲ τὸν γάμον φανερώσει, ἀφοῦ οὐδὲ τώρα
ἀνέχεσαι νὰ καταπαύσῃς τὴν μεγάλην ὀργὴν τῆς καρδίας σου.

ΜΗΔ. Δέν σε ἠμπόδιζε τοῦτο, ἀλλὰ βάρβαρος σύζυγος
μέχρι τοῦ γήρατος ἀπέβαινεν εἰς σὲ ἄνειδρς.

ΙΑΣ. Γνώριζε λοιπὸν τοῦτο καλῶς, ὅτι οὐχὶ ἕνεκα γυναικὸς
ἐνυμφεύθην τὴν θυγατέρα τοῦ βασιλέως, τὴν ὁποίαν τώρα ἔχω,
ἀλλά, καθὼς εἶπον καὶ πρότερον, ἐπειδὴ ἤθελον νὰ σώσω
σὲ καὶ εἰς τὰ τέκνα μου ἀδελφοὺς
νὰ γεννήσω παῖδας βασιλέως προστάτας τῆς οἰκογενείας μου.

ΜΗΔ. Εἴθε νὰ μὴ ἔχω βίον εὐτυχῆ πρόξενον λύπης
μηδὲ πλοῦτον, ὁ ὁποῖος πικραίνει τὴν ψυχήν μου.

ΙΑΣ. Γνωρίζεις τί πρέπει ἐξ ἐναντίου νὰ εὐχηθῇς ; καὶ (τότε) θὰ
τὰ καλὰ νὰ μὴ σοι φαίνωνταί ποτε λυπηρά, [φανῇς σοφωτέρα·

μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.
ΜΗΔΕΙΑ. Ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή,
ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.
ΙΑΣΩΝ. Αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
ΜΗΔΕΙΑ. Τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;
ΙΑΣΩΝ. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
ΜΗΔΕΙΑ. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ΙΑΣΩΝ. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ', εἴ τι βούλει παισὶν ἢ σαυτῆς φυγῇ
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ
ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ.
Καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.
ΜΗΔΕΙΑ. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν,
οὔτ' ἄν τι δεξαίμεσθα, μηθ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ΙΑΣΩΝ. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
φίλους ἀπωθεῖ· τοιγὰρ ἀλγυνεῖ πλέον.
ΜΗΔΕΙΑ. Χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρεῖ χρονίζων δωμάτων ἐξώπιος.
Νύμφευ'· ἴσως γάρ, σὺν θεῷ δ' εἰρήσεται,
γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι γάμον.

ΣΤΑΣΙΜΟΝ Β'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*
Ἔρωτες ὑπὲρ μὲν ἄγαν
ἐλθόντες οὐκ εὐδοξίαν
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι

μηδὲ νὰ νομίζῃς ὅτι εὐτυχεῖς ἐνῷ εἶσαι δυστυχής.
ΜΗΔ. Χλεύαζε, ἀφοῦ εἰς σὲ μὲν ὑπάρχει καταφύγιον,
ἐγὼ ὅμως ἔρημος ἐκ ταύτης τῆς χώρας θὰ φύγω.
ΙΑΣ. Σὺ ἐπροτίμησας ταῦτα· καὶ μὴ κατηγόρει ἄλλον δι' αὐτά.
ΜΗΔ. Τί πράττουσα; μήπως ἐπειδὴ ἐνυμφεύθην ἄλλον καί σε ἐπρό- [δωκα;
ΙΑΣ. Διότι ἐκτοξεύεις κατάρας ἐναντίον τῶν βασιλέων.
ΜΗΔ. Καὶ τὸν σὸν οἶκον βέβαια καταρῶμαι.
ΙΑΣ. (Μάθε) Ὅτι δὲν θὰ συζητήσω περισσότερον μετὰ σοῦ ἀπὸ ταῦτα.
'Αλλ', ἐὰν θέλῃς διὰ τοὺς παῖδας ἢ διὰ τὴν ἐξορίαν σου
βοήθημά τι ἐκ τῶν χρημάτων μου νὰ λάβῃς,
λέγε· διότι εἶμαι πρόθυμος νὰ δώσω ἄφθονα
καὶ νὰ πέμπω εἰς φίλους συστατικά, οἱ ὁποῖοι νά σε περι- [ποιηθῶσι.
Καὶ ἂν δὲν θέλῃς ταῦτα, ὦ γύναι, θὰ εἶσαι μωρά·
ἂν ὅμως παύσῃς τὴν ὀργήν σου, θὰ ὠφεληθῇς περισσότερον.
ΜΗΔ. Οὔτε τοὺς φίλους σου ἠθέλομεν χρειασθῆ,
οὔτε δεχθῆ τι (παρὰ σοῦ)· μήτε σὺ νὰ δίδῃς εἰς ἡμᾶς τι·
διότι δῶρα κακοῦ ἀνδρὸς δὲν ὠφελοῦσιν.
ΙΑΣ. 'Αλλ' ἐγὼ μὲν βεβαίως ἐπικαλοῦμαι μάρτυρας τοὺς θεούς,
ὅτι πᾶσαν βοήθειαν θέλω εἰς σὲ καὶ εἰς τὰ τέκνα μου νὰ παρά- [σχω·
εἰς σὲ ὅμως δὲν ἀρέσκουσι τὰ ἀγαθά, ἀλλ' ἐξ ἐγωισμοῦ
ἀποκρούεις τοὺς φίλους· διὰ τοῦτο βεβαίως θὰ λυπηθῇς πε- [ρισσότερον.
ΜΗΔ. Πήγαινε· διότι ὑπὸ μεγάλης ἐπιθυμίας τῆς νεανύμφου κόρης
κατέχεσαι χρονοτριβῶν μακρὰν τῶν οἴκων.
Νυμφεύου· διότι ἴσως, θὰ ἔχῃ λεχθῆ δὲ τοῦτο μὲ τὴν βοή- [θειαν τοῦ θεοῦ,
θὰ νυμφευθῇς τοιοῦτον γάμον, ὥστε νὰ ἀρνῆσαι ὅτι ἐγένετο [οὗτος.

ΣΤΑΣΙΜΟΝ Β'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Οἱ ἔρωτες, ὅταν μὲν ὑπερβολικοὶ
ἔλθωσιν, οὐχὶ εὐδοξίαν
οὐδὲ ἀρετὴν φέρουσιν
εἰς τοὺς ἀνθρώπους· ἐὰν ὅμως ἔλθῃ μετρία

Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτως·

μήποτ', ὦ δέσποιν' ἐπ' ἐμοὶ χρυσέων τόξων ἐφείης
ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.

Ἀντιστροφὴ α'.

Στέγοι δέ με σωφροσύνα,
δώρημα κάλλιστον θεῶν·
μηδέ ποτ' ἀμφιλόγους ὀρ-
γὰς ἀκόρεστά τε νείκη
θυμὸν ἐκπλήξασ' ἑτέροις ἐπὶ λέκτροις
προσβάλοι δεινὰ Κύπρις, ἀπτολέμους δ' εὐνὰς σεβίζουσ'

ὀξύφρων κρίνοι λέχη γυναικῶν.

Στροφὴ β'.

Ὦ πατρίς, ὦ δώματα, μὴ
δῆτ' ἄπολις γενοίμαν
τὸν ἀμηχανίας ἔχουσα
δυσπέρατον αἰῶν',
οἰκρότατον ἀχέων.
Θανάτῳ, θανάτῳ πάρος δαμείην
ἁμέραν τάνδ' ἐξανύσασα· μό-
χθων δ' οὐκ ἄλλος ὕπερθεν ἢ
γᾶς πατρίας στέρεσθαι.

Ἀντιστροφὴ β'.

Εἴδομεν, οὐκ ἐξ ἑτέρων
μῦθον ἔχω φράσασθαι·
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
ᾤκτιρεν παθοῦσαν
δεινότατα παθέων.
Ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστιν
μὴ φίλους τιμᾶν καθαρὰν ἀνοί-
ξαντα κλῇδα φρενῶν· ἐμοὶ
μὲν φίλος οὔποτ' ἔσται.

ἡ Ἀφροδίτη (ὁ ἔρως), δὲν ὑπάρχει ἄλλη θεὰ οὕτως εὐχάρι-
[στος ὡς αὕτη·
εἴθε, ὦ δέσποινα, ἐναντίον ἐμοῦ ἐκ τῶν χρυσῶν τόξων νὰ μὴ
μὲ ἐπιθυμίαν ἀλείψασα ἀλάθητον βέλος. [ρίψῃς ποτὲ

Ἀντιστροφὴ α'.

Εἴθε δὲ νά με προφυλάσσῃ ἡ σωφροσύνη,
ἡ ὁποία εἶναι ὡραιότατον δῶρον τῶν θεῶν·
μηδέποτε φιλονίκους ὀρ-
γὰς καὶ ἀχορτάστους φιλονικίας
δι' ἔρωτος τρώτασα τὴν ψυχήν, ὅπως κάμω ἄλλον γάμον,
νὰ ῥίψῃ ἡ φοβερὰ Ἀφροδίτη, ἀλλὰ τιμῶσα τοὺς εἰρηνικοὺς
[γάμους
μετὰ ὀξύτητος διανοίας εἴθε νὰ συμφιλιώνῃ τοὺς γάμους τῶν
[γυναικῶν.

Στροφὴ β'.

Ὦ πατρίς, ὦ οἶκοι, εἴθε νὰ μὴ
γείνω ἄπατρις
τῆς στενοχωρίας διάγουσα
τὸν ἄθλιον βίον,
τὴν οἰκτροτάτην τῶν θλίψεων.
Εἴθε νὰ ἀποθάνω, νὰ ἀποθάνω πρότερον (πρὶν γείνω ἄπατρις)·
ταύτην δὲ τὴν ἡμέραν τελειώσασα· τῶν συμ-
φορῶν δὲ δὲν ὑπάρχει μεγαλυτέρα παρὰ
νὰ στερηθῇ τις τῆς πατρίδος του.

Ἀντιστροφὴ β'.

Διὰ τῶν ὀφθαλμῶν γνωρίζομεν, οὐχὶ παρ' ἄλλων ἀκούσασα
λόγον δύναμαι νὰ εἴπω·
σὲ δηλαδὴ οὔτε πόλις, οὔτε κανεὶς ἐκ τῶν φίλων
ἐλυπήθη, ἂν καὶ ἔπαθες
τὰς φοβερωτάτας τῶν συμφορῶν.
Κάκιστα ἂς ἀπολεσθῇ (ἐκεῖνος), εἰς ὅντινα εἶναι εὔκολον
νὰ μὴ σέβηται τοὺς φίλους ἀνοί-
ξας τὴν κλεῖδα καθαρᾶς διανοίας· εἰς ἐμὲ
βεβαίως οὐδέποτε θὰ εἶναι φίλος.

ΕΠΕΙΣΟΔΙΟΝ Γ΄.

ΑΙΓΕΥΣ. Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.
ΜΗΔΕΙΑ. Ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ. Πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;
ΑΙΓΕΥΣ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
ΜΗΔΕΙΑ. Τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
ΑΙΓΕΥΣ. Παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.
ΜΗΔΕΙΑ. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
ΑΙΓΕΥΣ. Ἄπαιδές ἐσμεν δαίμονός τινος τύχῃ.
ΜΗΔΕΙΑ. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
ΑΙΓΕΥΣ. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
ΜΗΔΕΙΑ. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
ΑΙΓΕΥΣ. Σοφώτερ' ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη.
ΜΗΔΕΙΑ. Θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ΑΙΓΕΥΣ. Μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.

ΜΗΔΕΙΑ. Τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
ΑΙΓΕΥΣ. Ἀσκοῦ με τὸν προύχοντα μὴ λῦσαι πόδα.
ΜΗΔΕΙΑ. Πρὶν ἂν τί δράσῃς ἢ τίν' ἐξίκῃ χθόνα;
ΑΙΓΕΥΣ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
ΜΗΔΕΙΑ. Σὺ δ' ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙΓΕΥΣ. Πιτθεύς τις ἔστι, γῆς ἄναξ Τροιζηνίας.
ΜΗΔΕΙΑ. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
ΑΙΓΕΥΣ. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
ΜΗΔΕΙΑ. Σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙΓΕΥΣ. Κἀμοί γε πάντων φίλτατος δορυξένων.
ΜΗΔΕΙΑ. Ἀλλ' εὐτυχοίης καὶ τύχοις ὅσων ἐρᾷς.
ΑΙΓΕΥΣ. Τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;

ΜΗΔΕΙΑ. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
ΑΙΓΕΥΣ. Τί φής; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗΔΕΙΑ. Ἀδικεῖ μ' Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙΓΕΥΣ. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.

ΕΠΕΙΣΟΔΙΟΝ Γ'.

ΑΙΓ. Μήδεια, χαῖρε· διότι τούτου χαιρετισμὸν
οὐδεὶς γνωρίζει καλύτερον νὰ ἀπευθύνῃ πρὸς τοὺς φίλους.
ΜΗΔ. Ὦ χαῖρε καὶ σύ, υἱὲ τοῦ σοφοῦ Πανδίονος,
Αἰγεῦ. Πόθεν ἔρχεσαι εἰς τὸ ἔδαφος τῆς χώρας ταύτης ;
ΑΙΓ. (Ἔρχομαι) Καταλιπὼν τὸ ἀρχαῖον μαντεῖον τοῦ Ἀπόλλωνος.
ΜΗΔ. Διατί δὲ ἐπορεύθης εἰς τὸν μαντικὸν ὀμφαλὸν τῆς γῆς ;
ΑΙΓ. Ἐξετάζων νὰ μάθω πῶς θὰ γεννήσω τέκνα.
ΜΗΔ. Δι' ὄνομα τῶν θεῶν, ἀλλὰ μέχρι τοῦδε διέρχεσαι τὴν ζωὴν
ΑΙΓ. Στερούμεθα τέκνων ἐκ θελήσεως θεοῦ τινος. [ἄνευ τέκνων ;
ΜΗΔ. (Στερεῖσαι τέκνων) ἔχων σύζυγον ἢ ἄγαμος ὤν ;
ΑΙΓ. Δὲν εἶμαι ἄνευ συζυγικῆς κλίνης.
ΜΗΔ. Τί λοιπὸν σοι εἶπεν ὁ Ἀπόλλων περὶ τέκνων ;
ΑΙΓ. Χρησμοὺς σοφωτέρους ἢ ὥστε νὰ ἐννοήσῃ τούτους ἄνθρωπος.
ΜΗΔ. Ἀλλ' ἐπιτρέπεται νὰ μάθωμεν ἡμεῖς τὸν χρησμὸν τοῦ θεοῦ;
ΑΙΓ. Μάλιστα, ἀφοῦ βεβαίως ἔχει ἀνάγκην καὶ σοφῆς διανοίας
[(πρὸς ἐξήγησιν).
ΜΗΔ. Τί λοιπὸν ἐχρησμοδότησεν; εἰπέ, ἂν ἐπιτρέπηταί νὰ ἀκούω.
ΑΙΓ. Νὰ μὴ λύσω τὸν ἐξέχοντα τοῦ ἀσκοῦ πόδα.
ΜΗΔ. Πρὶν πράξῃς τί ἢ πρὶν πορευθῇς εἰς ποίαν χώραν ;
ΑΙΓ. Πρὶν ἐπανέλθω εἰς τὴν πατρικὴν οἰκίαν.
ΜΗΔ. Σὺ δὲ τίνος ἔχων ἀνάγκην ἦλθες εἰς ταύτην τὴν χώραν ;
ΑΙΓ. Ὑπάρχει Πιτθεύς τις βασιλεὺς τῆς Τροιζῆνος.
ΜΗΔ. Υἱὸς τοῦ Πέλοπος εὐσεβέστατος, ὡς λέγουσιν.
ΑΙΓ. Εἰς τοῦτον τοῦ θεοῦ τὸν χρησμὸν θέλω ν' ἀνακοινώσω.
ΜΗΔ. (Καλῶς ποιεῖς) Διότι ὁ ἀνὴρ εἶναι σοφὸς καὶ ἔμπειρος εἰς τὰ
ΑΙΓ. Καὶ εἰς ἐμὲ βέβαια ἀγαπητότατος ἐξ ὅλων τῶν φίλων. [τοιαῦτα.
ΜΗΔ. Ἀλλ' εἴθε νὰ εὐτυχῇς καὶ νὰ ἐπιτύχῃς ὅσων ἐπιθυμεῖς.
ΑΙΓ. Ἀλλὰ διατί οἱ ὀφθαλμοί σου καὶ τὸ πρόσωπόν σου εἶναι λυ-
[πημένα ;
ΜΗΔ. Αἰγεῦ, ὁ σύζυγός μου εἶναι εἰς ἐμὲ κάκιστος πάντων τῶν συζύ-
ΑΙΓ. Τί λέγεις ; Σαφῶς εἰπέ μοι τὰς δυστυχίας σου. [γων.
ΜΗΔ. Μὲ ἀδικεῖ ὁ Ἰάσων χωρὶς νὰ πάθῃ κανὲν ἐκ μέρους ἐμοῦ κα-
ΑΙΓ. (Σὲ ἀδικεῖ) Τί πρᾶγμα πράξας ; λέγε μοι σαφέστερον. [κόν.

ΜΗΔΕΙΑ. Γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙΓΕΥΣ. Ἦ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
ΜΗΔΕΙΑ. Σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.

ΑΙΓΕΥΣ. Πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗΔΕΙΑ. Μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙΓΕΥΣ. Ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
ΜΗΔΕΙΑ. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙΓΕΥΣ. Δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗΔΕΙΑ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙΓΕΥΣ. Συγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗΔΕΙΑ. Ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙΓΕΥΣ. Πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
ΜΗΔΕΙΑ. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙΓΕΥΣ. Ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπήνεσα.
ΜΗΔΕΙΑ. Λόγῳ μὲν οὐχί, καρτερεῖν δ' οὐ βούλεται.
Ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν ἱκεσία τε γίγνομαι,
οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
Εὕρημα δ' οὐκ οἶσθ' οἷον ηὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
ΑΙΓΕΥΣ. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων ὧν ἐπαγγέλλει γονάς·
εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,

πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
[Τοσόνδε μέντοι σοι προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι,

ΜΗΔ. Γυναῖκα ἐπ' ἐμοῦ κυρίαν τῶν οἴκων ἔχει.
ΑΙΓ. Ἀληθῶς ἔχει τολμήσει τὴν αἰσχροτάτην ταύτην πρᾶξιν ;
ΜΗΔ. Γνώριζε καλῶς τοῦτο (Μάλιστα)· περιφρονούμεθα δὲ οἱ πρό-
[τερον ἀγαπητοί.
ΑΙΓ. Ποῖον ἐκ τῶν δύο ἐξ ἔρωτος ἢ διότι μισεῖ σὲ τὴν σύζυγον ;
ΜΗΔ. Ἐκ μεγάλου βέβαια ἔρωτος· φύσει δὲ εἶναι ἄπιστος εἰς τοὺς
[φίλους.
ΑΙΓ. Λοιπὸν ἐῤῥέτω, ἂν βέβαιαν ὡς λέγεις, εἶναι κακός.
ΜΗΔ. Ἀνθρώπων βασιλέων συγγένειαν ἐπεθύμησε νὰ ἔχῃ.
ΑΙΓ. Τίς δὲ ἔδωκεν εἰς αὐτὸν τὴν θυγατέρα ; τελείωνέ μοι τὸν λόγον.
ΜΗΔ. Ὁ Κρέων, ὁ ὁποῖος βασιλεύει ταύτης ἐδῶ τῆς Κορινθίας χώρας.
ΑΙΓ. Ἀλλὰ συγγνωστὸν βέβαια ἦτο εἰς σὲ νὰ λυπῆσαι, ὦ γύναι.
ΜΗΔ. Ἐχάθην· καὶ πρὸς τούτοις ἐκδιώκομαι τῆς χώρας.
ΑΙΓ. Ὑπὸ τίνος ; τοῦτο πάλιν τὸ ὁποῖον λέγεις εἶναι ἄλλο νέον
[κακόν.
ΜΗΔ. Ὁ Κρέων με ἐκδιώκει ἐξόριστον τῆς Κορίνθου.
ΑΙΓ. Ἀλλ' ἐπιτρέπει (τοῦτο) ὁ Ἰάσων; οὐδὲ ταῦτα ἐπιδοκιμάζω.
ΜΗΔ. Διὰ τοῦ λόγου μὲν οὐχί (δὲν ἐπιτρέπει), δὲν θέλει ὅμως νὰ
[ἐπιμένῃ.
Ἀλλά σε ἱκετεύω ἀπτομένη τῆς γενειάδος σου ταύτης
καὶ τῶν γονάτων σου καὶ ἱκέτης γίνομαι,
εὐσπλαγχνίσου, εὐσπλαγχνίσου με τὴν δυστυχῆ
καὶ ἔρημον ἐξορισθεῖσαν μὴ με παραβλέψῃς,
ἀλλὰ δέχθητι εἰς τὴν χώραν σου καὶ εἰς τὸν οἶκόν σου ἱκέτιδα.
Εἴθε τῇ βοηθείᾳ τῶν θεῶν νὰ τελεσφορήσῃ εἰς σὲ ἡ ἐπιθυμία
πρὸς τεκνοποίησιν, καὶ ὁ ἴδιος εὐτυχὴς νὰ ἀποθάνῃς.
Δὲν γνωρίζεις δὲ ὁποῖον ἀπροσδόκητον ἀγαθὸν ἐμὲ ἔχεις εὑρεῖ·
θὰ παύσω δέ σε ἀπὸ τοῦ νὰ στερῆσαι τέκνων καὶ τέκνα
θά σε κάμω νὰ γεννήσῃς· τοιαῦτα γνωρίζω φάρμακα.
ΑΙΓ. Ἕνεκα πολλῶν ταύτην τὴν χάριν νὰ κάμω εἰς σέ,
ὦ γύναι, εἶμαι πρόθυμος, πρῶτον μὲν ἕνεκα τῶν θεῶν,
ἔπειτα ἕνεκα τῶν τέκνων, τὰ ὁποῖά μοι ὑπόσχεσαι·
διότι ὡς πρὸς τοῦτο ἐγὼ βέβαια εἶμαι τελείως ἠφανισμένος.
Ἡ θέσις μου δὲ ἔχει ὡς ἑξῆς· ἐὰν μὲν σὺ ἔλθῃς εἰς τὴν χώ-
[ραν μου,
θὰ προσπαθήσω νὰ σὲ προστατεύσω ἔχων δικαίωμα πρὸς τοῦτο.
Τόσον ὅμως σοὶ προλέγω, ὦ γύναι·
ἐκ ταύτης μὲν ἐδῶ τῆς χώρας δὲν θὰ θελήσω νά σε λάβω,

αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος κού σε μὴ μεθῶ τινι.]
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.

ΜΗΔΕΙΑ. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.

ΑΙΓΕΥΣ. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;

ΜΗΔΕΙΑ. Πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. Τούτοις δ', ὁρκίοισι μὲν ζυγείς,
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ·
λόγοις δὲ συμβὰς καὶ θεῶν ἐνώμοτος
φίλος γένοι' ἂν κἀπικηρυκεύμασι
οὐκ ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.

ΑΙΓΕΥΣ. Πολλὴν ἔλεξας, ὦ γύναι, προμηθίαν·
ἀλλ', εἰ δοκεῖ σοι, δρᾶν τάδ' οὐκ ἀφίσταμαι.
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.

ΜΗΔΕΙΑ. Ὄμνυ πέδον Γῆς πατέρα θ' Ἥλιον πατρὸς
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος.

ΑΙΓΕΥΣ. Τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.

ΜΗΔΕΙΑ. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.

ΑΙΓΕΥΣ. Ὄμνυμι Γαῖαν λαμπρὸν Ἡλίου τε φῶς
θεούς τε πάντας ἐμμενεῖν, ἅ σου κλύω.

ΜΗΔΕΙΑ. Ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;

ΑΙΓΕΥΣ. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.

ΜΗΔΕΙΑ. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι.
πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.

ΧΟΡΟΣ. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ

σὺ ὅμως μόνη ἐὰν ἔλθῃς εἰς τὸν οἶκόν μου,
θὰ μείνῃς ἀσφαλὴς καὶ δὲν θὰ σὲ παραδώσω εἰς τινα.
Ἐκ ταύτης ὅμως τῆς χώρας μόνη σου ἄπελθε·
διότι καὶ ὑπὸ τῶν ξένων δὲν θέλω νὰ κατηγορηθῶ.

ΜΗΔ. Θὰ γείνωσι ταῦτα· ἀλλ' ἂν ἐγίνετο εἰς ἐμὲ διαβεβαίωσις
περὶ τούτων, ἤθελον ἔχει ὅλα ἐκ μέρους σου καλῶς.

ΑΙΓ. Μήπως λοιπὸν δὲν ἔχεις πεποίθησιν; ἢ τίς εἰς σὲ δυσκολία [ὑπάρχει;

ΜΗΔ. Ἔχω πεποίθησιν· ἀλλ' ὁ οἶκος τοῦ Πελίου μοὶ εἶναι ἐχθρὸς
καὶ ὁ Κρέων. Εἰς τούτους δὲ δεδεμένος μὲν (πρὸς ἐμὲ) δι' ὅρ-
δὲν ἤθελες με παραδώσει ἀπάγοντας ἐκ τῆς χώρας· [κου
δώσας ὅμως τὸν λόγον σου καὶ δι' ὅρκου πρὸς τοὺς θεοὺς κυ-
[ρώσας (τοῦτον)
ἤθελες γείνει φίλος καὶ εἰς τὰς περὶ παραδόσεως προτάσεις
δὲν ἤθελες πεισθῇ· διότι ἐγὼ μὲν εἶμαι ἀδύνατος,
ἐκεῖνοι ὅμως ἔχουσι πλοῦτον καὶ βασιλικὴν ἐξουσίαν.

ΑΙΓ. Μεγάλην πρόνοιαν, ὦ γύναι διὰ τῶν λόγων σου ἔδειξας·
ἀλλ' ἂν σοὶ φαίνηται καλὸν, νὰ πράττω ταῦτα δὲν ἀρνοῦμαι.
Διότι καὶ εἰς ἐμὲ αἱ ὑποσχέσεις μου εἶναι ἀσφαλέσταται,
ἐπειδὴ πρόφασίν τινα εἰς τοὺς ἐχθρούς σου δύναμαι νὰ δεικνύω
καὶ ἡ θέσις σου εἶναι μᾶλλον ἀσφαλής· ὀνόμασον τοὺς θεούς.

ΜΗΔ. Ὁρκίσθητι εἰς τὸ ἔδαφος τῆς Γῆς καὶ εἰς τὸν πατέρα τοῦ πα-
καὶ συλλήβδην εἰς ὅλον τὸ γένος τῶν θεῶν. [τρός μου Ἥλιον

ΑΙΓ. (Νὰ ὁρκισθῶ) Τί ὅτι θὰ πράξω ἢ τί ὅτι δὲν θὰ πράξω; λέγε.

ΜΗΔ. Ὅτι μήτε σὺ θὰ με ἐκβάλῃς ποτὲ ἐκ τῆς χώρας σου,
μήτε, ἂν ἄλλος τις ἐκ τῶν ἐχθρῶν μου νὰ με λάβῃ
θέλῃ, θὰ με ἀφήσῃς ἑκουσίως ἐν ὅσῳ ζῇς.

ΑΙΓ. Ὁρκίζομαι εἰς τὴν Γῆν καὶ εἰς τὸ λαμπρὸν τοῦ Ἡλίου φῶς
καὶ εἰς τοὺς θεοὺς πάντας, ὅτι θὰ τηρήσω ὅσα ἤκουσα παρὰ σοῦ.

ΜΗΔ. Ἀρκεῖ· ἀλλὰ τί εὔχεσαι νὰ πάθῃς, ἂν δὲν ἐμμένῃς εἰς τὸν ὅρκον [τοῦτον;

ΑΙΓ. Ὅσα εἰς τοὺς ἀσεβεῖς τῶν ἀνθρώπων συμβαίνουσι.

ΜΗΔ. Χαίρων πορεύου, διότι πάντα καλῶς ἔχουσι.
Καὶ ἐγὼ τάχιστα θὰ ἔλθω εἰς τὴν πόλιν σου,
ἀφοῦ πράξω ὅσα διανοοῦμαι καὶ ἐπιτύχω ὅσων θέλω.

ΧΟΡ. Ἀλλὰ σὲ ὁ υἱὸς τῆς Μαίας ὁ ὁδηγὸς Ἑρμῆς

πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.
Μηδ. Ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·
νῦν ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
Οὗτος γὰρ ἀνήρ, ᾗ μάλιστ' ἐκάμνομεν,
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,

μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν Ἰάσονα
εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει
γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει

καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα.
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι
οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονάς,
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,

λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
ᾤμωξα δ' οἷον ἔργον ἔστ' ἐργαστέον

εἴθε νά σε ὁδηγήσῃ εἰς τὸν οἶκόν σου καὶ ὅσα ἔχεις εἰς τὸν
σπεύδων πρὸς ταῦτα εἴθε νὰ κατορθώσῃς, ἐπειδὴ [νοῦν σου
γενναῖος ἀνήρ,
ὦ Αἰγεῦ, ὑπ' ἐμοῦ ἔχεις νομισθῇ.

ΜΗΔ. Ὦ Ζεῦ καὶ Δικαιοσύνη τοῦ Διὸς καὶ φῶς τοῦ Ἡλίου,
τώρα ἔνδοξον νίκην κατὰ τῶν ἐχθρῶν μου, ὦ φίλαι,
θὰ νικήσωμεν καὶ ἔχομεν εἰσέλθει εἰς τὴν ὁδὸν (τῆς ἐπιτυχίας)·
τώρα ὑπάρχει (εἰς ἐμὲ) ἐλπὶς νὰ τιμωρήσω τοὺς ἐχθρούς μου.
Διότι οὗτος ὁ ἀνήρ, ὅπου κατ' ἐξοχὴν εἴμεθα ἀδύνατοι,
(ἐκεῖ) λιμὴν σωτηρίας ἔχει φανῇ τῶν σχεδίων μου·
ἐκ τούτου θὰ ἀναρτήσωμεν τὸ πρυμνήσιον σχοινίον (τὰς ἐλπί-
[δας μας),
ἐλθόντες εἰς τὴν πόλιν καὶ εἰς τὴν ἀκρόπολιν τῆς Παλλάδος.
Τώρα δὲ πλέον ὅλας μου τὰς σκέψεις θά σοι
εἴπω· μὴ περιμένῃς δὲ λόγους εὐχαρίστους.
Στείλασά τινα ἐκ τῶν ὑπηρετῶν μου ἀπὸ τὸν Ἰάσονα
θὰ ζητήσω νὰ ἔλθῃ ἐνώπιόν μου·
ἀφοῦ δὲ ἔλθῃ θὰ εἴπω εἰς αὐτὸν μαλακοὺς λόγους,
ὅτι καί μοι φαίνονται ταῦτα καλὰ καὶ καλῶς
ἐνυμφεύθη τὴν θυγατέρα τοῦ βασιλέως, τὴν ὁποίαν, προδώ-
[σας ἡμᾶς, ἔχει
καὶ ὅτι ὠφέλιμά εἶναι καὶ καλῶς ἀποφασισμένα (ταῦτα).
Θὰ ζητήσω δὲ οἱ παῖδές μου νὰ μείνωσιν,
οὐχὶ ἵνα ἐγκαταλιποῦσα ἐπὶ πολεμίας χώρας
τοὺς παῖδάς μου εἰς τοὺς ἐχθροὺς καθυβρίσω αὐτούς,
ἀλλ' ἵνα διὰ δόλου τὴν θυγατέρα τοῦ βασιλέως φονεύσω.
Διότι θὰ στείλω αὐτοὺς μετὰ δώρων εἰς τὰς χεῖρας,
φέροντας ταῦτα πρὸς τὴν νύμφην, (ἱκετεύοντας) νὰ μὴ φύγω-
[σιν ἐκ τῆς χώρας,
λεπτὸν δηλαδὴ πέπλον καὶ στέφανον χρυσήλατον·
καὶ ἂν βέβαια λαβοῦσα τὸν στολισμὸν θέσῃ πέριξ τοῦ σώματος,
κακῶς θὰ ἀπολεσθῇ καὶ πᾶς ὅστις θὰ ἐγγίσῃ τὴν κόρην·
διὰ τοιούτων φαρμάκων θὰ ἀλείψω τὰ δῶρα.
Ἐνταῦθα ὅμως τὸν λόγον τοῦτον ἀφήνω·
στενάζω δὲ διότι τοιοῦτον ἔργον θὰ ἐκτελεσθῇ.

τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ' Ἰάσονος
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον

φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.

Ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς
οὔτ' οἶκος ἔστιν οὔτ' ἀποστροφὴ κακῶν·
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

ΧΟΡΟΣ. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν

ξυλλαμβάνουσα δρᾶν σ' ἀπεννέπω τάδε.

ΜΗΔΕΙΑ. Οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.

ΧΟΡΟΣ. Ἀλλὰ κτανεῖν σὼ παῖδε τολμήσεις, γύναι;

ΜΗΔΕΙΑ. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

ΧΟΡΟΣ. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

ΜΗΔΕΙΑ. Ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
Ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα·
εἰς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
Λέξης δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

κατόπιν ὑπ' ἐμοῦ· διότι θὰ φονεύσω τὰ τέκνα μου·
οὐδεὶς ὑπάρχει ὅστις θὰ σώσῃ ταῦτα·
καὶ ὅλον τὸν οἶκον τοῦ Ἰάσονος ταράξασα
θὰ ἐξέλθω ἐκ τῆς χώρας, τὸν πόνον τοῦ φόνου τῶν προσφι-
[λεστάτων παίδων
ἀποφεύγουσα καὶ τολμήσασα ἔργον ἀνοσιώτατον.
Διότι δὲν εἶναι ὑποφερτὸν νὰ καταγελᾶταί τις ὑπὸ τῶν
[ἐχθρῶν, ὦ φίλαι.
Ἐμπρός· τί κέρδος εἶναι εἰς ἐμὲ νὰ ζῶ; οὔτε πατρὶς εἰς ἐμὲ
οὔτε οἶκος ὑπάρχει οὔτε ἀπαλλαγὴ δυστυχίας·
ἔκαμνον σφάλμα τότε, ὁπότε ἐγκατέλειπον
τὸν πατρικὸν οἶκον εἰς λόγους ἀνδρὸς Ἕλληνος,
πεισθεῖσα, ὁ ὁποῖος μὲ τὴν βοήθειαν τοῦ θεοῦ θὰ τιμωρηθῇ
Διότι οὔτε τοὺς ἐξ ἐμοῦ παῖδας θὰ ἴδῃ ποτὲ [ὑφ' ἡμῶν.
ζῶντας τοῦ λοιποῦ οὔτε ἐκ τῆς νεογάμου
νύμφης θὰ ἀποκτήσῃ τέκνον, ἐπειδὴ κακὴ οὖσα κακῶς
εἶναι ἀνάγκη νὰ ἀποθάνῃ αὕτη διὰ τῶν φαρμάκων μου.
Κανεὶς ἂς μὴ μὲ νομίζῃ εὐτελῆ καὶ ἀδύνατον
μηδὲ ἥσυχον, ἀλλά, τοὐναντίον,
λυπηρὰν εἰς τοὺς ἐχθροὺς καὶ εὐμενῆ εἰς τοὺς φίλους·
διότι τῶν τοιούτων ἀνθρώπων ὁ βίος εἶναι ἐνδοξότατος.

ΧΟΡ. Ἀφοῦ βέβαια εἰς ἡμᾶς τοῦτον τὸν λόγον ἀνεκοίνωσας,
ἐπειδὴ θέλω καὶ σὲ νὰ ὠφελῶ καὶ τοὺς (φυσικοὺς) νόμους τῶν
[ἀνθρώπων
νὰ ὑποβοηθῶ, σὲ ἀποτρέπω ἀπὸ τοῦ νὰ πράττῃς ταῦτα.

ΜΗΔ. Δὲν εἶναι δυνατὸν νὰ γείνωσιν ἄλλως· εἰς σὲ δὲ συγκεχωρη-
ταῦτα εἶναι, ἀφοῦ δὲν δυστυχεῖς, καθὼς ἐγώ. [μένον νὰ λέγῃς

ΧΟΡ. Ἀλλὰ θὰ τολμήσῃς νὰ φονεύσῃς τὰ τέκνα σου, ὦ γύναι;

ΜΗΔ. (Ναί) Διότι τοιουτοτρόπως μάλιστα δύναται νὰ λυπηθῇ ὁ

ΧΟΡ. Ἀλλὰ σὺ ἤθελες γείνει ἀθλιωτάτη γυνή. [σύζυγός μου.

ΜΗΔ. Ἐμπρός· περιττοὶ εἶναι ὅλοι οἱ ἐν τῷ μεταξὺ λόγοι.
Ἀλλ' ἐμπρὸς ὕπαγε (ὦ θεράπαινα) καὶ φέρε τὸν Ἰάσονα·
διότι εἰς ὅλα τὰ πιστά, ὡς γνωστόν, σὲ ἔχω.
Καὶ μὴ εἴπῃς τίποτε ἐξ ὅσων ἔχω ἀποφασίσει,
ἐὰν βέβαια ἀγαπᾷς τὴν δέσποινάν σου καὶ εἶσαι φύσει γυνή.

ΣΤΑΣΙΜΟΝ Γ'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς
χώρας ἀπορθήτου τ' ἀποφερβόμενοι
κλεινοτάταν σοφίαν, ἀεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

Ἀντιστροφὴ α'.

Τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς
τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν
χώραν καταπνεῦσαι μετρίας ἀνέμων
ἡδυπνόους αὔρας· ἀεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

Στροφὴ β'.

Πῶς οὖν ἱερῶν ποταμῶν
ἢ πόλις ἢ φίλων
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν; μετ' ἄλλων
σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἴρει.
Μή, πρὸς γονάτων σε πάντες
πάντως ἱκετεύομεν, μὴ τέκνα φονεύσῃς.

Ἀντιστροφὴ β'.

Πόθεν θράσος ἢ φρενὸς ἢ
χειρὶ τέκνων σέθεν
καρδίᾳ τε λήψει,

ΣΤΑΣΙΜΟΝ Γ'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Ἀπόγονοι τοῦ Ἐρεχθέως ἐκ παλαιῶν χρόνων εὐδαίμονες
καὶ τέκνα τῶν μακαρίων θεῶν, ἀπὸ ἱερᾶς
χώρας ἀκυριεύτου καρπούμενοι
ἐνδοξοτάτην σοφίαν, πάντοτε διὰ λαμπροτάτου
αἰθέρος περιπατοῦντες ἐλαφρῶς (ἐκεῖ), ὅπου ποτὲ τὰς ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσιν
ὅτι ἡ ξανθὴ (ὡραιοτάτη) Ἁρμονία ἐγέννησεν.

Ἀντιστροφὴ α'.

Καὶ (ὅπου) ἀπὸ τοῦ καλλιρρόου Κηφισοῦ τὰ ῥεῖθρα
ὑμνοῦσιν ὅτι ἡ Κύπρις (Ἀφροδίτη) ἀντλήσασα
τὴν χώραν κατεδρόσισε μὲ συγκεκραμένας ἀνέμων
ἡδυπνόους αὔρας· καὶ (ὅπου ὑμνοῦσιν ὅτι) πάντοτε ἐπιθέτουσα
εἰς τὴν κόμην στέφανον ἀπὸ εὐώδη ἄνθη ῥόδων
πέμπει τοὺς ἔρωτας τοὺς συγκαθέδρους τῆς σοφίας,
τοὺς παντοειδοῦς ἀρετῆς βοηθούς.

Στροφὴ β'.

Πῶς λοιπὸν ἱερῶν ποταμῶν
ἡ πόλις ἢ φιλόξενος
χώρα σὲ
τὴν παιδοκτόνον θὰ δεχθῇ,
τὴν ἀνοσίαν; μετ' ἄλλων
σκέφθητι περὶ τοῦ κτυπήματος τῶν τέκνων,
σκέφθητι ποῖον φόνον ἐπιχειρεῖς.
Μή, ἐνώπιον τῶν γονάτων σου πάντες
κατὰ πάντα τρόπον σε παρακαλοῦμεν, μὴ φονεύσῃς τὰ τέ-
[κνα σου.

Ἀντιστροφὴ β'.

Ἀπὸ ποῦ θάρρος ἢ τῆς διανοίας ἢ
ἐν τῇ χειρὶ κατὰ τῶν τέκνων σου
ἢ ἐν τῇ καρδίᾳ θὰ λάβῃς,

δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσει,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῷ.

ΕΠΕΙΣΟΔΙΟΝ Δ'.

ΙΑΣΩΝ. Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς
οὐ τἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι,
τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.
ΜΗΔΕΙΑ. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;

οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
Ταῦτ' ἐννοήσασ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.
Νῦν οὖν ἐπαινῶ σωφρονεῖν τέ μοι δοκεῖς
κῆδος τόδ' ἡμῖν προσλαβών, ἐγὼ δ' ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων
καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
Ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν,

φοβερὰν ἐπιφέρουσα τόλμην;
πῶς δὲ βλέμματα ῥίψασα
εἰς τὰ τέκνα τὸν ἄνευ δακρύων εἱμαρμένον
θὰ ὑπομείνῃς φόνον; δὲν θὰ δυνηθῇς,
ὅταν οἱ παῖδες γονυπετήσωσι,
νὰ μολύνῃς τὴν χεῖρα, ὥστε νὰ γείνῃ αὕτη φονική,
μὲ τολμηρὰν ψυχήν.

ΕΠΕΙΣΟΔΙΟΝ Α΄.

ΙΑΣ. Ἔχω ἔλθει προσκληθείς· διότι, ἂν καὶ εἶσαι δυσμενὴς πρός με,
δὲν θὰ ἀποτύχῃς βέβαια ἐμοῦ, ἀλλὰ θὰ ἀκούσω,
τί πρᾶγμα νέον ἐξ ἐμοῦ θέλεις, ὦ γύναι.

ΜΗΔ. Ἰᾶσον, σὲ παρακαλῶ διὰ τὰ εἰρημένα
νά με συγχωρήσῃς· τὴν δὲ ὀργήν μου νὰ ὑποφέρῃς
εὔλογον εἶναι, ἐπειδὴ πολλὰ εὐχάριστα ὑφ' ἡμῶν τῶν δύο ἔ-
Ἐγὼ δὲ κατ' ἐμαυτὴν διελέχθην, [χουσι πραχθῆ.
καὶ εἶπον κατηγορῶν ἐμαυτῆς· ἀθλία, διατί μαίνομαι
καὶ εἶμαι δυσμενὴς πρὸς τοὺς σκεπτομένους ὀρθῶς,
εἶμαι δὲ ἐχθρὰ πρὸς τοὺς βασιλεῖς τῆς γῆς
καὶ πρὸς τὸν σύζυγον, ὁ ὁποῖος ἐνεργεῖ δι' ἡμᾶς τὰ ὠφελιμώτατα,
νυμφευθεὶς τὴν θυγατέρα τοῦ βασιλέως καὶ ἀδελφοὺς εἰς τὰ
μου γεννῶν; δὲν θὰ παύσω [τέκνα
ἀπὸ τοῦ νὰ ὀργίζωμαι; τί πάσχω, ἀφοῦ οἱ θεοὶ καλῶς φέ-
[ρουσι τὰ πράγματα;
δὲν ὑπάρχουσι μὲν εἰς ἐμὲ παῖδες, δὲν γνωρίζω δὲ ὅτι ἐκ τῆς
ἡμεῖς εἴμεθα ἐξόριστοι καὶ στερούμεθα φίλων; [πατρίδος
Ταῦτα ἐν νῷ θέσασα ἐνόησα ἀπερισκεψίαν
ὅτι ἔχω πολλὴν καὶ ὅτι ματαίως ὀργίζομαι.
Τώρα λοιπὸν ἐπιδοκιμάζω καί μοι φαίνεσαι ὅτι σωφρονεῖς
συνάψας ταύτην τὴν συγγένειαν πρὸς χάριν μας, ἐγὼ δὲ εἶ-
ἡ ὁποία ἔπρεπε νὰ μετέχω τούτων τῶν σκέψεων [μαι ἀνόητος,
καὶ ὁμοῦ νὰ φέρω εἰς πέρας καὶ νὰ ἐπιστατῶ εἰς τὴν κλίνην
καὶ νὰ εὐχαριστῶμαι φροντίζουσα περὶ τῆς γυναικός σου.
Ἀλλ' εἴμεθα ὁποῖαι εἴμεθα, δὲν θὰ εἴπω κακαί,

γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα καί φαμεν κακῶς φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τόδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς·—οἴμοι, κακῶν
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.—
Ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.

ΧΟΡΟΣ. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.

ΙΑΣΩΝ. Αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος,
γάμους παρεμπολῶντος ἀλλοίους, πόσει.
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν ἀλλὰ τῷ χρόνῳ
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι·
Ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.

(ἀλλὰ) γυναῖκες· λοιπὸν δὲν ἔπρεπε σὺ νὰ ἐξομοιοῦσαι μὲ τοὺς
μηδὲ νὰ ἀντιτάσσης ἀνοησίας ἀντὶ τῶν ἀνοησιῶν. [κακούς,
Παραδέχομαι καὶ λέγω ὅτι κακῶς ἐσκεπτόμην
τότε, ἀλλὰ τώρα καλύτερον ἔχω σκεφθῆ τοῦτο.
Ὦ τέκνα, τέκνα, ἔλθετε, ἀφήνετε τὸν οἶκον,
ἐξέλθετε, ἀσπάσθητε καὶ χαιρετίσατε
μετ' ἐμοῦ τὸν πατέρα σας, καὶ συμφιλιώθητε (πρὸς τοῦτον)
[συγχρόνως
μετὰ τῆς μητρὸς γενόμενοι φίλοι ἀντὶ τῆς προτέρας ἔχθρας·
διότι συνεφιλιώθημεν καὶ ἡ ἔχθρα μετεβλήθη εἰς φιλίαν.
Ἀσπάσθητε τὴν δεξιὰν τοῦ πατρός· — ἀλλοίμονον,
διότι ἔχω τι εἰς τὸν νοῦν μου ἐκ τῶν ἀδήλων (μελλόντων) κακῶν.—
Ἄρα, ὦ τέκνα, οὕτω καθὼς τώρα πολὺν χρόνον ζῶντα
θὰ τείνητε τὸν βραχίονά σας; δυστυχὴς ἐγώ,
πόσον εἶμαι εὔκολος εἰς δάκρυα καὶ πλήρης φόβου.
Μετὰ πολὺν δὲ χρόνον τὴν φιλονεικίαν πρὸς τὸν πατέρα κα-
[ταπαύσασα
ἐγέμισα τὸ πρόσωπόν μου δακρύων, ὥστε νὰ γείνῃ μαλακόν.

ΧΟΡ. Καὶ ἐκ τῶν ὀφθαλμῶν μου ἄφθονον ἐχύθη δάκρυ·
καὶ εἴθε τὸ κακὸν νὰ μὴ προχωρήσῃ περισσότερον τοῦ παρόν-
[τος (κακοῦ).

ΙΑΣ. Ἐπαινῶ, ὦ γύναι, ταῦτα καὶ δὲν κατηγορῶ ἐκεῖνα (τὴν προ-
διότι φυσικὸν εἶναι αἱ γυναῖκες νὰ ὀργίζωνται [τέραν ὀργήν)·
κατὰ τοῦ συζύγου, ὅταν οὗτος ἄλλους γάμους παρανόμους
Ἀλλ' εἰς τὸ καλύτερον ἡ καρδία σου μετεβλήθη, [συνάπτῃ.
ἐνόησας δὲ σὺν τῷ χρόνῳ τὴν καλυτέραν
σκέψιν· ταῦτα εἶναι ἔργα σώφρονος γυναικός.
Διὰ σᾶς δέ, ὦ τέκνα, ὁ πατὴρ μετ' ἐπιμελείας
πολλὴν πρόνοιαν μὲ τὴν βοήθειαν τῶν θεῶν κατέβαλεν·
διότι νομίζω ὅτι σεῖς τῆς Κορινθίας ταύτης χώρας
οἱ πρῶτοι θὰ εἶσθε εἰς τὸ μέλλον μετὰ τῶν ἀδελφῶν.
Ἀλλ' αὐξάνεσθε· τὰ δὲ ἄλλα φέρει εἰς πέρας
ὁ πατὴρ καὶ ὅστις ἀπὸ τοὺς θεοὺς εἶναι εὐμενής·
εἴθε δὲ νὰ σας ἴδω ὑγιεῖς εἰς τὸ τέλος τῆς ἐφηβικῆς ἡλικίας
φθάσαντας, ὑπερτέρους τῶν ἐχθρῶν μου.

Αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον ;
ΜΗΔΕΙΑ. Οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.

ΙΑΣΩΝ. Τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις ;
ΜΗΔΕΙΑ. Ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
εἰσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
ΙΑΣΩΝ. Θάρσει νυν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.

ΜΗΔΕΙΑ. Δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.

Ἀλλ' ὧνπερ εἵνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,

τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,

κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς

ναίειν, δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις,
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ.
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
ΙΑΣΩΝ. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.
ΜΗΔΕΙΑ. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.
ΙΑΣΩΝ. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.
ΜΗΔΕΙΑ. Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
Συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται

τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολὺ

Ἒ σύ, διατί βρέχεις τοὺς ὀφθαλμούς σου μὲ δάκρυα ἄφθονα,
στρέψασα τὸ λευκὸν πρόσωπον πρὸς τὰ ὀπίσω,
καὶ δὲν ἀποδέχεσαι εὐχαρίστως τὸν λόγον μου ;

ΜΗΔ. Δὲν εἶναι τίποτε· (κλαίω) συλλογιζομένη περὶ τῶν τέκνων [τούτων ἰδῶ.

ΙΑΣ. Ἀλλὰ διατί λοιπόν, ὦ δυστυχής, ἀναστενάζεις διὰ τὰ τέκνα [ταῦτα;

ΜΗΔ. Ἐγέννησα αὐτά· ὅτε δὲ ηὔχεσο νὰ ζῶσι τὰ τέκνα μου,
μὲ κατέλαβε συγκίνησις, ἂν θὰ ἐκτελεσθῇ ἡ εὐχὴ αὕτη.

ΙΑΣ. Ἔχε θάρρος λοιπόν· διότι καλῶς περὶ τούτων ἐγὼ θὰ φρον- [τίσω.

ΜΗΔ. Θὰ πράξω ταῦτα· ἐξάπαντος δὲν θὰ ἀπιστήσω εἰς τοὺς λόγους·
ἀλλ' ἡ γυνὴ εἶναι ἀσθενὲς ὂν καὶ ἐκ φύσεως ἐπιρρεπὴς εἰς [δάκρυα.
Ἀλλ' ἐκ τούτων, ἕνεκα τῶν ὁποίων βέβαια ἔχεις ἐλθεῖ νὰ ὁμι- [λήσῃς μετ' ἐμοῦ,
ἄλλα μὲν ἔχουσι λεχθῇ, ἄλλα δὲ ἐγὼ θὰ ὑπενθυμίσω.
Ἀφοῦ εἰς τοὺς βασιλεῖς τῆς χώρας φαίνεται καλὸν νά με [ἀπομακρύνωσι,
καὶ εἰς ἐμὲ τοῦτο εἶναι ὠφελιμώτατον, γνωρίζω καλῶς τοῦτο,
ὥστε μήτε εἰς σὲ μήτε εἰς τοὺς βασιλεῖς τῆς χώρας ἐμπό- [διον οὖσα
νὰ κατοικῶ, διότι φαίνομαι ὅτι εἶμαι ἐχθρὰ εἰς τὸν οἶκόν των,
ἐγὼ μὲν ἐκ ταύτης τῆς χώρας ἀπέρχομαι ἐξόριστος,
ἀλλ' ἵνα οἱ παῖδες ἀνατραφῶσιν ὑπὸ τὴν προστασίαν σου,
ζήτει ἀπὸ τὸν Κρέοντα νὰ μὴ φεύγωσιν ἐκ ταύτης τῆς χώρας.

ΙΑΣ. Δὲν γνωρίζω ἂν θὰ πείσω αὐτόν, πρέπει ὅμως νὰ προσπαθήσω.

ΜΗΔ. Ἀλλὰ παρακάλεσον σὺ τὴν σύζυγόν σου νὰ ζητήσῃ παρὰ τοῦ [πατρός της
νὰ μὴ φύγωσιν οἱ παῖδες ἀπὸ ταύτης ἐδῶ τῆς χώρας.

ΙΑΣ. Μάλιστα, καὶ νομίζω ὅτι θὰ πείσω βεβαίως αὐτήν.

ΜΗΔ. Ἐὰν βεβαίως εἶναι μία ἀπὸ τὰς ἄλλας γυναῖκας (φίλανδρος).
Θά σε βοηθήσω δὲ καὶ ἐγὼ εἰς τὴν ἐργασίαν ταύτην·
διότι θὰ στείλω εἰς αὐτὴν μετὰ δώρων, τὰ ὁποῖα θεωροῦν- [ται κάλλιστα
ἀπὸ τὰ σήμερον εἰς τοὺς ἀνθρώπους ὑπάρχοντα, εἶμαι βέβαιος [εἰς τοῦτο, κατὰ πολὺ

[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον]
παῖδας φέροντας. Ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου
κεκτημένη τε κόσμον, ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.

Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.

ΙΑΣΩΝ. Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων,
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.

ΜΗΔΕΙΑ. Μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·

χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,

νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς

ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμήν,
ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,

εἰς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
Ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν

εὐάγγελοι γένοισθε πράξαντες καλῶς.

λεπτὸν πέπλον καὶ στέφανον χρυσοῦν,
τοὺς παῖδας. Ἀλλ'-ὅσον τὸ δυνατὸν ταχέως εἶναι ἀνάγκη
ἀπὸ τὰς ὑπηρετρίας τις νὰ φέρῃ ἐνταῦθα τὰ κοσμήματα.
Θὰ εὐτυχήσῃ δὲ (ἡ Γλαύκη) οὐχὶ ἅπαξ, ἀλλὰ πολλάκις,
ἐπειδὴ ἔτυχε σοῦ ἀνδρὸς ἀρίστου συζύγου
καὶ κέκτηται κοσμήματα, τὰ ὁποῖά ποτε ὁ Ἥλιος
ὁ πατὴρ τοῦ πατρός μου (πάππος) ἔδωκεν εἰς τοὺς ἀπογό–
[νους του.
Λάβετε, ὦ παῖδες, τὰ νυμφικὰ ταῦτα δῶρα εἰς τὰς χεῖρας
καὶ δότε εἰς τὴν εὐτυχῆ νύμφην τὴν θυγατέρα τοῦ βασιλέως
φέροντες αὐτά· βεβαίως δὲν θὰ δεχθῇ δῶρα ἀξιόμεμπτα.

ΙΑΣ. Ἀλλὰ διατί, ὦ ἀνόητος, στερεῖς τὰς χεῖράς σου ἀπὸ ταῦτα;
νομίζεις ὅτι τὸ βασιλικὸν ἀνάκτορον στερεῖται πέπλων,
καὶ νομίζεις (ὅτι στερεῖται) χρυσοῦ; φύλαττε, μή τα δίδῃς.
Διότι, ἂν βέβαια κρίνῃ ἐμὲ ἄξιον λόγου τινὸς
ἡ σύζυγός μου, ἀκριβῶς γνωρίζω τοῦτο ἐγώ, θὰ προτιμήσῃ
[τὴν παράκλησίν μου ἀπὸ τὰ δῶρα.

ΜΗΔ. Μὴ εἰς ἐμὲ λέγῃς ταῦτα· λέγουσιν ὅτι τὰ δῶρα καὶ τοὺς θεοὺς
[πείθουσιν.
ὁ δὲ χρυσὸς εἶναι ἀνώτερος πολλῶν λόγων εἰς τοὺς ἀνθρώπους.
Ἡ εὐτυχία ἀνήκει εἰς ἐκείνην, τὰ πράγματα ἐκείνης τώρα ὁ
[θεὸς βοηθεῖ,
νέα κατὰ τὴν ἡλικίαν εἶναι βασίλισσα· τὴν δὲ ἐξορίαν τῶν
[τέκνων μου
καὶ μὲ τὴν ζωήν μου ἤθελον ἀνταλλάξει, οὐχὶ μὲ χρυσὸν μόνον.
Ἀλλ', ὦ παῖδες, ἀφοῦ εἰσέλθητε εἰς τὰ πλούσια ἀνάκτορα
τοῦ πατρός σας, τὴν νέαν σύζυγον καὶ κυρίαν μου,
ἱκετεύετε, παρακαλεῖτε νὰ μὴ φεύγητε ἐκ τῆς χώρας,
δίδοντες εἰς αὐτὴν τὰ κοσμήματα· διότι κατ' ἐξοχὴν τούτου
[ὑπάρχει ἀνάγκη,
νὰ δεχθῇ δηλαδὴ ἐκείνη εἰς τὰς χεῖρας τὰ δῶρα ταῦτα.
Πηγαίνετε ὅσον τὸ δυνατὸν τάχιστα· εἰς τὴν μητέρα δὲ ἐκεί-
[νων, τὰ ὁποῖα ἐπιθυμεῖ νἀπολαύσῃ,
εἴθε νὰ γείνητε ἄγγελοι καλοὶ εὐτυχήσαντες.

ΣΤΑΣΙΜΟΝ Δ'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας,
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
Δέξεται νύμφα χρυσέων ἀναδεσμῶν,
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα
κόσμον αὐτὰ χεροῖν λαβοῦσα.

Ἀντιστροφὴ α'.

Πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλον
χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
Τοῖον εἰς ἕρκος πεσεῖται
καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'
οὐχ ὑπερφεύξεται.
Σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε κηδεμὼν τυράννων

Στροφὴ β'.

παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις ἀλόχῳ
τε σᾷ στυγερὸν θάνατον.
Δύστανε, μοίρας ὅσον παροίχει.
Μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παίδων

Ἀντιστροφὴ β'.

μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ σοι προλιπὼν ἀνόμως
ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.

ΕΠΕΙΣΟΔΙΟΝ Ε'.

ΠΑΙΔΑΓ. Δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,

ΣΤΑΣΙΜΟΝ Α΄.

ΧΟΡΟΣ. — *Στροφὴ α΄.*

Τώρα ἐλπίδες δὲν ὑπάρχουσι πλέον εἰς ἐμὲ περὶ τῆς ζωῆς τῶν [παίδων,
δὲν ὑπάρχουσι πλέον· διότι ἤδη πορεύονται πρὸς τὸν θάνατον.
Θὰ δεχθῇ ἡ νύμφη τῶν χρυσῶν στεφάνων,
θὰ δεχθῇ ἡ δυστυχὴς τὴν βλάβην·
περὶ τὴν ξανθὴν δὲ κόμην θὰ θέσῃ τοῦ Ἅδου
τὸν στολισμὸν ἡ ἰδία λαβοῦσα αὐτὸν διὰ τῶν χειρῶν της.

Ἀντιστροφὴ α΄.

Θὰ πείσῃ (αὐτὴν) ἡ χάρις καὶ ἡ θεία λάμψις τὸν πέπλον
καὶ τὸν ἐκ χρυσοῦ κατεσκευασμένον στέφανον νὰ περιβληθῇ·
πλησίον δὲ τῶν νεκρῶν πλέον θὰ στολισθῇ ὡς νύμφη.
Εἰς τοιαύτην παγίδα θὰ πέσῃ
καὶ εἱμαρμένον θάνατον ἡ δυστυχής· τὴν βλάβην δὲ
δὲν θὰ διαφύγῃ.
Σὺ δέ, ὦ ἄθλιε, ὦ ἐπὶ κακῷ γενόμενε γαμβρὲ τῶν βασιλέων

Στροφὴ β΄.

χωρὶς νὰ γνωρίζῃς ἀκριβῶς εἰς τῶν παίδων σου
τὴν ζωὴν πλησιάζεις καταστροφὴν καὶ εἰς τὴν σύζυγον
τὴν ἰδικήν σου μισητὸν θάνατον.
Δυστυχής, πόσον πλανᾶσαι εἰς τὴν τύχην σου.
Στενάζω δὲ πάλιν διὰ τὴν ταλαιπωρίαν σου, ὦ ἀθλία τέκνων

Ἀντιστροφὴ β΄.

μῆτερ, ἡ ὁποία θὰ φονεύσῃς
τὰ τέκνα σου ἕνεκα γαμηλίου κλίνης,
τὰ ὁποῖα εἰς σὲ ἀφήσας παρανόμως
ὁ σύζυγος συνοικεῖ μὲ ἄλλην γυναῖκα.

ΕΠΕΙΣΟΔΙΟΝ Ε΄.

ΠΑΙΔ. Κυρία, οἱ παῖδες οὗτοί σου ἔχουσιν ἀπαλλαγὴ ἐκ τῆς ἐξορίας,

καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
Ἔα·
τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;
τί σὴν ἔστρεψας ἔμπαλιν παρηΐδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον;
ΜΗΔΕΙΑ. Αἰαῖ.
ΠΑΙΔΑΓ. Τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
ΜΗΔΕΙΑ. Αἰαῖ μάλ' αὖθις. ΠΑΙΔΑΓ. Μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;
ΜΗΔΕΙΑ. Ἤγγειλας οἷ' ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙΔΑΓ. Τί δὴ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗΔΕΙΑ. Πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.
ΠΑΙΔΑΓ. Θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
ΜΗΔΕΙΑ. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.
ΠΑΙΔΑΓ. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗΔΕΙΑ. Δράσω τάδ'. Ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν', οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ' ἀεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν.
Ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ' ἡμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τέ με
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,

καὶ τὰ δῶρα ἡ βασιλικὴ νύμφη μετὰ χαρᾶς εἰς τὰς χεῖρας
ἐδέχθη· εἰρήνη ἀπ' ἐκεῖ (παρὰ τοῦ Κρέοντος) εἰς τὰ τέκνα ὑ-
ΑΙ· [πάρχει.
διατί ταραχθεῖσα ἔχεις σταθῆ καθ' ἣν ὥραν εἶσαι εὐτυχής ;
διατί τὸ πρόσωπόν σου ἔστρεψας πρὸς τὰ ὀπίσω,
καὶ δὲν δέχεσαι μετὰ χαρᾶς τὸν λόγον μου ;

ΜΗΔ. Φεῦ.

ΠΑΙΔ. Ταῦτα δὲν συμφωνοῦσι πρὸς ὅσα ἔχουσιν ἀγγελθῆ.

ΜΗΔ. Φεῦ πάλιν. ΠΑΙΔ. Μήπως λοιπὸν ἀναγγέλλων δυστυχίαν τινα δὲν γνωρίζω, ἠπατήθην δὲ νομίσας ὅτι φέρω καλὴν ἀγγελίαν;

ΜΗΔ. Ἀνήγγειλας ὁποῖα ἀνήγγειλας, δέν σε κατακρίνω.

ΠΑΙΔ. Διατί λοιπὸν ἔχεις τὸ βλέμμα σκυθρωπὸν καὶ χύνεις δάκρυα;

ΜΗΔ. Εἶναι πολλὴ ἀνάγκη, ὦ γέρον (νὰ κλαίω)· διότι ταῦτα τῇ κακῶς σκεπτομένη ἐμηχανεύθην. [βοηθείᾳ τῶν θεῶν

ΠΑΙΔ. Ἔχε θάρρος· σὲ βεβαιῶ καὶ σὺ εἰς τὸ μέλλον θὰ σταλῆς εἰς [τὴν πατρίδα ὑπὸ τῶν τέκνων σου.

ΜΗΔ. Ἄλλους πρότερον ἡ δυστυχὴς ἐγὼ θὰ στείλω (εἰς τὸν Ἅδην).

ΠΑΙΔ. Βεβαίως δὲν ἀπεχωρίσθης σὺ μόνη τῶν τέκνων σου·
πρέπει δέ τις θνητὸς ὢν γενναίως νὰ ὑποφέρῃ τὰς δυστυχίας.

ΜΗΔ. Θὰ πράξω ταῦτα. Ἀλλ' εἴσελθε ἐντὸς τοῦ οἴκου
καὶ ἑτοίμασον διὰ τοὺς παῖδας τὰ τῆς ἡμέρας ἀναγκαῖα.
Ὦ τέκνα, τέκνα, εἰς ὑμᾶς μὲν λοιπὸν ὑπάρχει πατρὶς
καὶ οἶκος (ὁ Ἅδης), ἐν τῷ ὁποίῳ, ἀφήσαντες ἐμὲ τὴν δυστυχῆ,
θὰ κατοικήσητε διὰ παντὸς ἐστερημένοι τῆς μητρός·
ἐγὼ δὲ εἰς ἄλλην χώραν θὰ πορευθῶ ἐξόριστος,
πρὶν σας χαρῶ καὶ σας ἴδω εὐτυχεῖς,
πρὶν τὴν κλίνην καὶ τὴν σύζυγον καὶ τὴν νυμφικὴν
κλίνην στολίσω καὶ κρατήσω (ἐν καιρῷ τοῦ γάμου) λαμπάδας.
Ὦ δυστυχὴς διὰ τὸν ἐγωισμόν μου.
Ματαίως λοιπόν, ὦ τέκνα, σᾶς ἀνέθρεψα,
ματαίως δ' ἐκοπίαζον καὶ κατεβασανίσθην ὑπὸ τῶν πόνων,
σκληρὰς λύπας ὑπομείνασα ἐν καιρῷ τοῦ τοκετοῦ.
Ἡ δυστυχὴς εἶχον πολλὰς ἐλπίδας εἰς σᾶς ὅτι ἐξάπαντός ποτε
καὶ θά με γηροκομήσητε
καί, ἀφοῦ ἀποθάνω, διὰ τῶν χειρῶν σας θά με σαβανώσητε,

ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ
γλυκεῖα φροντίς. Σφῷν γὰρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί.
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
Φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα ;

τί προσγελᾶτε τὸν πανύστατον γέλων ;
αἰαῖ· τί δράσω ; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά ;
οὐ δῆτ' ἔγωγε. Χαιρέτω βουλεύματα.

Καίτοι τί πάσχω ; βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους ;
τολμητέον τάδ'. Ἀλλὰ τῆς ἐμῆς κάκης
τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενός.
Χωρεῖτε, παῖδες, εἰς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει, χεῖρα δ' οὐ διαφθερῶ.
ἆ ἆ.
Μὴ δῆτα, θυμέ, μή ποτ' ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσι σε·
Μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,

ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται·
καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ

ὅπερ εἶναι ζηλευτὸν εἰς τοὺς ἀνθρώπους· τώρα ὅμως πλέον
ἡ γλυκεῖα φροντίς. Διότι ἐστερημένη ὑμῶν [ἐχάθη
λυπηρὰν καὶ ὀδυνηρὰν εἰς ἐμὲ ζωὴν θὰ διέλθω.
Σεῖς δὲ διὰ τῶν ἀγαπητῶν σας ὀφθαλμῶν τὴν μητέρα πλέον
δὲν θὰ ἴδητε μεταβάντες εἰς ἄλλο εἶδος βίου.
Φεῦ φεῦ· διατί με παρατηρεῖτε ζωηρῶς διὰ τῶν ὀφθαλμῶν,
[ὦ τέκνα ;
διατί (παρατηροῦντά με) γελᾶτε τὸν τελευταῖον γέλωτα ;
Αἶ αἶ· τί νὰ πράξω; διότι τὸ θάρρος με ἐγκατέλιπεν,
ὦ γυναῖκες, εὐθὺς ὡς εἶδον τοὺς γελαστοὺς ὀφθαλμοὺς τῶν
Δὲν ἤθελον δυνηθῆ· μακρὰν αἱ ἀποφάσεις [τέκνων.
αἱ πρότεραι· θὰ ἐξαγάγω ἐκ τῆς χώρας τοὺς παῖδάς μου.
Τίς ἡ ἀνάγκη, τὸν πατέρα τούτων ἐδῶ (τῶν τέκνων) διὰ τοῦ
ἀφοῦ λυπήσω, ἡ ἰδία νὰ λάβω διπλάσια κακά ; [φόνου αὐτῶν
ἐγὼ τοὐλάχιστον ἐξάπαντος δὲν θὰ φονεύσω ταῦτα. Μακρὰν
[αἱ σκέψεις (αὗται).
Καὶ βεβαίως τί πάσχω; θέλω νὰ καταγελῶμαι
ἀφήσασα τοὺς ἐχθρούς μου ἀτιμωρήτους ;
πρέπει νὰ τολμήσω ταῦτα. Ἀλλὰ τῆς ἐμῆς δειλίας ἴδιον (εἶναι)
καὶ τὸ ὅτι εἶπον λόγους ἠπίους.
Εἰσέλθετε, ὦ παῖδες, εἰς τὸν οἶκον· εἰς ὅντινα δὲ δὲν εἶναι
ἐπιτετραμμένον νὰ παρευρίσκηται εἰς τὰς θυσίας μου,
αὐτὸς ἂς φροντίσῃ περὶ τούτου (ἂς απομακρυνθῇ), τὴν χεῖρά
Ἆ ἆ, [μου δὲν θὰ καταστήσω δειλήν.
μή, ὦ θυμέ, μηδέποτε πράξῃς ταῦτα·
ἄφησον αὐτούς, ὦ δυστυχής, φείσθητι τῶν τέκνων·
ἐκεῖ (ἐν Ἀθήναις) μεθ' ἡμῶν ζῶντες θὰ σε εὐχαριστήσωσι.
Μὰ τοὺς ἐν Ἅδου ὑπογείους τιμωροὺς θεούς,
βεβαίως οὐδέποτε θὰ γείνῃ τοῦτο ὅπως ἐγὼ εἰς τοὺς ἐχθρούς μου
ἀφήσω τοὺς παῖδάς μου, ὥστε ὑβριστικῶς νά τους φονεύσωσιν.
Ἐξάπαντος εἶναι ἀνάγκη οὗτοι ν' ἀποθάνωσιν· ἀφοῦ δὲ εἶναι
[ἀνάγκη,
ἡμεῖς θὰ φονεύσωμεν, οἱ ὁποῖοι βέβαια ἐγεννήσαμεν αὐτούς.
Ἐξάπαντος εἶναι τετελεσμένα ταῦτα καὶ δὲν θὰ διαφύγωσι·
καὶ ἤδη ὁ στέφανος εἶναι ἐπὶ τῆς κεφαλῆς, ἐντὸς δὲ τοῦ πέπλου

νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
[καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,]
παῖδας προσειπεῖν βούλομαι. Δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. Ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ'. Οὐκέτ' εἰμὶ προσβλέπειν
οἵα τε παῖδας, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΣΤΑΣΙΜΟΝ Ε'.

ΧΟΡΟΣ. Πολλάκις ἤδη διὰ λεπτοτέρων
μύθων ἔμολον καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους ἢ χρὴ γενεὰν
θῆλυν ἐρευνᾶν·
Ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν,
ἣ προσομιλεῖ σοφίας ἕνεκεν·
πάσαισι μὲν οὔ· παῦρον δὲ γένος
—μίαν ἐν πολλαῖς εὕροις ἂν ἴσως—
οὐκ ἀπόμουσον τὸ γυναικῶν.
Καί φημι βροτῶν οἵτινές εἰσιν
πάμπαν ἄπειροι μηδ' ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
Οἱ μὲν ἄτεκνοι δι' ἀπειροσύνην
εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν
παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
πολλῶν μόχθων ἀπέχονται·

ἡ βασιλικὴ νύμφη (οὖσα) καταστρέφεται, καλῶς γνωρίζω ἐγὼ
'Αλλά, διότι βεβαίως θὰ πορευθῶ δυστυχεστάτην ὁδὸν [τοῦτο.
καὶ τούτους ἐδῶ θὰ στείλω εἰς πλέον δυστυχεστέραν,
θέλω νὰ χαιρετίσω τὰ τέκνα μου. Δώσατε, ὦ τέκνα,
δώσατε εἰς τὴν μητέρα νὰ ἀσπασθῇ τὴν δεξιάν σας χεῖρα.
Ὦ προσφιλεστάτη χείρ, προσφιλεστάτη δὲ εἰς ἐμὲ κεφαλὴ
καὶ μορφὴ καὶ πρόσωπον τῶν τέκνων εὐγενές,
εἴθε νὰ εὐτυχῆτε, ἀλλ' ἐκεῖ (ἐν Ἅδου)· τὰ δὲ ἐνταῦθα (ἐπὶ
ὁ πατὴρ ἀφήρεσεν. Ὦ γλυκὺς ἐναγκαλισμός, [τῆς γῆς ἀγαθὰ)
ὦ μαλακὸν δέρμα καὶ γλυκυτάτη τῶν τέκνων ἀναπνοή.
Εἰσέλθετε, εἰσέλθετε. Δὲν εἶμαι πλέον ἱκανὴ νὰ ἀτενίζω
τὰ τέκνα μου, ἀλλὰ καταβάλλομαι ὑπὸ τῆς λύπης.
Καὶ ἐννοῶ μὲν ὁποῖα κακὰ μέλλω νὰ πράττω,
ἀλλ' ἡ ὀργή μου εἶναι ἀνωτέρα τῶν σκέψεών μου,
ὅπερ εἶναι αἰτία μεγίστων κακῶν εἰς τοὺς ἀνθρώπους.

ΣΤΑΣΙΜΟΝ Ε'.

ΧΟΡ. Πολλάκις μέχρι τοῦδε διὰ λεπτοτέρων
διαλογισμῶν ἐξήτασα καὶ εἰς ἐρεύνας
ἦλθον μεγαλυτέρας ἢ ὅσον ἔχει χρέος τὸ φῦλον
τῶν γυναικῶν νὰ ἐρευνᾷ.
'Αλλά (τοῦτο δὲν εἶναι ὀρθόν), διότι ὑπάρχει φιλοσοφικὴ μόρ-
ἥτις ἔχει σχέσεις μεθ' ἡμῶν ἕνεκα σοφίας· [φωσις καὶ εἰς ἡμᾶς,
βεβαίως οὐχὶ εἰς πάσας· μικρὸν ὅμως μέρος τοῦ φύλου
—μίαν δὲ μεταξὺ τῶν πολλῶν δύνασαι νὰ εὕρῃς ἐμέ—
τῶν γυναικῶν δὲν εἶναι φιλοσοφικῶς ἀμόρφωτον.
Καὶ ἰσχυρίζομαι, ὅτι ὅσοι ἐκ τῶν ἀνθρώπων εἶναι
ὅλως ἄπειροι τέκνων καὶ δὲν ἐγέννησαν
παῖδας, ὑπερέχουσι κατὰ τὴν εὐτυχίαν
τῶν γεννησάντων.
Οἱ μὲν ἄτεκνοι, ἐπειδὴ δὲν ἐδοκίμασαν,
ἂν πρὸς εὐχαρίστησιν ἢ πρὸς λύπην εἰς τοὺς ἀνθρώπους
οἱ παῖδες ὑπάρχουσι, μὴ ἀποκτήσαντες παῖδας,
ἀπὸ πολλῶν φροντίδων εἶναι ἀπηλλαγμένοι·

οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις
γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον,
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις
εἴτ' ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
πᾶσιν κατερῶ θνητοῖσι κακόν·
καὶ δὴ γὰρ ἅλις βίοτόν θ' ηὗρον

σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων

χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσαι
δαίμων οὗτος, φροῦδος ἐς Ἅιδην
Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν ;

ΕΠΕΙΣΟΔΙΟΝ Ζ'.

ΜΗΔΕΙΑ. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
Καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.
ΑΓΓΕΛΟΣ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη,
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.
ΜΗΔΕΙΑ. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς ;
ΑΓΓΕΛΟΣ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη

εἰς ὅσους δὲ ὑπάρχει εἰς τοὺς οἴκους τέκνων
γλυκὺς βλαστός, τούτους βλέπω ἀπὸ φροντίδας
καταπονουμένους καθ' ὅλον τὸν χρόνον,
πρῶτον μὲν μὲ ποῖον τρόπον ν' ἀναθρέψωσι καλῶς
καὶ πόθεν ν' ἀφήσωσι περιουσίαν εἰς τὰ τέκνα των·
προσέτι δὲ κατόπιν τούτων ἂν διὰ κακὰ
ἢ διὰ καλὰ (τέκνα)
κοπιάζουσι, τοῦτο εἶναι ἄδηλον.
Ἓν δὲ τὸ τελευταῖον ἐξ ὅλων πλέον
θ' ἀριθμήσω κακὸν διὰ πάντας τοὺς ἀνθρώπους·
διότι καὶ ἂς ὑποθέσωμεν,ὅτι (οἱ παῖδες) καὶ ἀρκετὴν περιου-[σίαν εὗρον
καὶ ὅτι τὰ σώματα τῶν τέκνων ἔφθασαν εἰς τὴν ἐφηβικὴν ἡ-[λικίαν
καὶ ἔγειναν ἐνάρετοι ἄνθρωποι· ἂν ὅμως κατὰ τύχην συμβῇ
τὸ ἀγαθὸν τοῦτο, εἰς τὸν Ἅδην ταχέως φεύγει
ὁ Θάνατος ἁρπάσας τὰ σώματα τῶν τέκνων.
Πῶς λοιπὸν ἐκτὸς τῶν ἄλλων ὠφελεῖ
καὶ ταύτην ἀκόμη τὴν μεγίστην λύπην
χάριν παίδων
εἰς τοὺς θνητοὺς οἱ θεοὶ νὰ ἐπιβάλλωσιν;

ΕΠΕΙΣΟΔΙΟΝ Ζ'.

ΜΗΔ. Φίλαι, πρὸ πολλοῦ βεβαίως περιμένουσα τὸ συμβησόμενον
ἀναμένω ποῦ θὰ προβῶσι τὰ ἐκεῖ (τὰ ἐν τῷ οἴκῳ τοῦ Κρέοντος).
Καὶ ἰδοὺ βλέπω τοῦτον ἐδῶ, ἐκ τῶν τοῦ Ἰάσονος
ἀκολούθων ἐρχόμενον, ἡ ἀσθμαίνουσα δὲ ἀναπνοή του
δεικνύει ὅτι νέον τι κακὸν θὰ ἀναγγείλῃ.

ΑΓΓ. Ὦ φοβερὸν ἔργον παρανόμως ἔχουσα διαπράξει,
Μήδεια, φεῦγε, φεῦγε, μήτε πλοῖον
παραλιποῦσα (πρὸς τοῦτο νὰ μεταχειρισθῇς) μήτε ὄχημα τῆς [ξηρᾶς.

ΜΗΔ. Ἀλλὰ τί πρᾶγμα κατὰ τύχην εἶναι εἰς ἐμὲ ἄξιον ταύτης τῆς [φυγῆς;

ΑΓΓ. Ἀπέθανε πρὸ ὀλίγου ἡ κόρη τοῦ βασιλέως

Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
ΜΗΔΕΙΑ. Κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσει.
ΑΓΓΕΛΟΣ. Τί φής; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνει, γύναι,
ἥτις τυράννων ἑστίαν ᾐκισμένην
χαίρεις κλύουσα κοὐ φοβεῖ τὰ τοιάδε;
ΜΗΔΕΙΑ. Ἔχω τι κἀγὼ τοῖσι σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
ΑΓΓΕΛΟΣ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι' οἴκων δ' εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ' ἣν νῦν ἀντὶ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργάς τ' ἀφῄρει καὶ χόλον νεάνιδος
λέγων τάδ'· οὐ μὴ δυσμενὴς ἔσει φίλοις,
παύσει δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,
δέξει δὲ δῶρα καὶ παραιτήσει πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν;
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,

καὶ Κρέων ὁ γεννήσας αὐτὴν ὑπὸ τῶν φαρμάκων σου.

ΜΗΔ. Εἶπας κάλλιστον λόγον, μεταξὺ δὲ τῶν εὐεργετῶν
καὶ τῶν φίλων μου εἰς τὸ μέλλον τώρα πλέον θὰ εἶσαι.

ΑΓΓ. Τί λέγεις ; ἔχεις βεβαίως τὸν νοῦν σου καὶ δὲν εἶσαι παρά-
[φρων, ὦ γύναι,
(σὺ) ἥτις, ὅτι ὁ οἶκος τῶν βασιλέων ἔχει καταστραφῆ (ὑπὸ σοῦ)
ἐνῷ ἀκούεις, χαίρεις καὶ δὲν φοβεῖσαι διὰ τὰ τοιαῦτα ;

ΜΗΔ. Ἔχω καὶ ἐγὼ ἐναντίον εἰς τοὺς ἰδικούς σου
λόγους νὰ εἴπω σοβαρόν τι· ἀλλὰ μὴ βιάζησαι, ὦ φίλε,
ἀλλ' εἰπέ με ποῖον τρόπον ἐχάθησαν· διότι διπλασίως
θά με εὐχαριστήσῃς, ἂν ἔχωσιν ἀποθάνει κάκιστα.

ΑΓΓ. Ἀφοῦ ἦλθον τὰ δύο σου τέκνα
μετὰ τοῦ πατρὸς καὶ εἰσῆλθον εἰς τὰ δωμάτια τῆς νύμφης,
ἡμεῖς οἱ ὑπηρέται ηὐχαριστήθημεν, οἱ ὁποῖοι βεβαίως ἐλυ-
[πούμεθα διὰ τὰς δυστυχίας σου,
εὐθὺς δὲ πολὺς λόγος ἐγίνετο εἰς τὴν οἰκίαν
ὅτι σὺ καὶ ὁ σύζυγός σου διελύσατε τὴν προτέραν φιλονικίαν.
Φιλεῖ δὲ ἄλλος μὲν τὴν χεῖρα, ἄλλος δὲ τὴν ξανθὴν κεφαλὴν
τῶν παίδων· καὶ ἐγὼ δὲ ὁ ἴδιος ἐξ εὐχαριστήσεως
μετὰ τῶν τέκνων ἠκολούθησα εἰς τὸν θάλαμον τῶν γυναικῶν.
Ἡ κυρία δέ, τὴν ὁποίαν ἀντὶ σοῦ τώρα τιμῶμεν,
προτοῦ μὲν ἴδῃ τὰ δύο σου τέκνα,
μετ' εὐχαριστήσεως ἔβλεπε τὸν Ἰάσονα,
ἔπειτα ὅμως ἐκάλυψε τοὺς ὀφθαλμοὺς
καὶ ἔστρεψε τὸ πρόσωπον πρὸς τὰ ὀπίσω,
ἀγανακτήσασα διὰ τὴν εἴσοδον τῶν παίδων· ὁ δὲ σύζυγός σου
προσεπάθει νἀφαιρέσῃ τὴν ὀργὴν καὶ τὸν χόλον τῆς νεάνιδος
λέγων τὰ ἑξῆς· «Μὴ εἶσαι δυσμενὴς πρὸς τοὺς φίλους,
παῦσον δὲ τὴν ὀργήν σου καὶ στρέψον πάλιν τὴν κεφαλήν σου,
θεωροῦσα φίλους ὅσους ἤθελε θεωρεῖ ὁ σύζυγός σου,
δέχθητι δὲ δῶρα καὶ παρακάλεσον τὸν πατέρα σου
νἀπαλλάξῃ ἐκ τῆς ἐξορίας τοὺς παῖδας τούτους χάριν ἐμοῦ».
Ἐκείνη δέ, ὡς εἶδε τὰ κοσμήματα, δὲν ἀντέσχεν,
ἀλλ' ὑπεσχέθη τὰ πάντα εἰς τὸν ἄνδρα καὶ πρὶν ἐκ τοῦ θα-
μακρὰν ἀπέλθῃ ὁ πατὴρ καὶ οἱ παῖδές σου, [λάμου

λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.

Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα
χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων δ' ἄπο
κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. Εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράς· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
Ἤδη δ' ἀνέλκων κῶλον ἐκπλέθρου δρόμου

ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος

δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο.
Διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο·
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
Φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,

λαβοῦσα τὸν κεντητὸν πέπλον ἐνεδύθη (αὐτόν),
καὶ θέσασα τὸν χρυσοῦν στέφανον πέριξ τῶν τριχῶν τῆς κεφα-
διευθετεῖ τὴν κόμην της ἐν τῷ λαμπρῷ κατόπτρῳ, • [λῆς,
γελῶσα πρὸς τὴν (ἐντὸς τοῦ κατόπτρου) ἄψυχον εἰκόνα τοῦ
Καὶ ἔπειτα σηκωθεῖσα ἐκ τῆς ἕδρας διέρχεται [σώματος.
τὴν οἰκίαν, ἐλαφρῶς βαδίζουσα διὰ τῶν καταλεύκων ποδῶν
χαίρουσα ὑπερβολικὰ διὰ τὰ δῶρα, καὶ πολλάκις πολλὰ [της,
βλέμματα ῥίπτουσα (πρὸς τὰ ὀπίσω) ὑψουμένη ἐπὶ τοῦ ἄκρου
[τῶν ποδῶν.
Ἀπ' ἐδῶ ὅμως καὶ ἑξῆς ἦτο φοβερὸν τὸ θέαμα νὰ το ἴδῃ τις·
διότι ἀλλάξασα χρῶμα πλαγία πρὸς τὰ ὀπίσω
βαίνει τρέμουσα κατὰ τὰ ἄκρα (κλονιζομένη) καὶ μόλις προ-
νὰ πέσῃ ἐπὶ τῆς ἕδρας, ὥστε νὰ μὴ πέσῃ κάτω. [φθάνει
Καὶ ἀπὸ τὰς ὑπηρέτριας γραῖά τις, νομίσασα ἴσως,
ὅτι ὀργὴ ἢ τοῦ Πανὸς ἢ ἄλλου τινὸς ἐκ τῶν θεῶν ἐπῆλθεν,
ηὐχήθη μετὰ κραυγῆς, ἕως ὅτου βλέπει ὅτι διὰ τοῦ στόματος
ἐξέρχεται λευκὸς ἀφρός, καὶ ὅτι (ἡ Γλαύκη) τῶν ὀφθαλμῶν
τὰς κόρας στρέφει, καὶ ὅτι δὲν ὑπάρχει αἷμα ἐν τῷ σώματι·
μετὰ τοῦτο δ' ἐξέβαλε ἀντίθετον τῆς προτέρας εὐχῆς μέγαν
θρῆνον. Εὐθὺς δὲ ἡ μὲν (Γλαύκη) εἰς τὰ δωμάτια τοῦ πατρὸς
ὥρμησεν, ἡ δὲ (γραῖα) πρὸς τὸν νεωστὶ σύζυγον,
διὰ νὰ εἴπῃ τὰς δυστυχίας τῆς νύμφης· ὅλη δὲ
ἡ οἰκία ἐκρότει ἐκ τῶν συνεχῶν δρόμων.
Ἤδη δὲ (παρῆλθε τοσοῦτον διάστημα χρόνου ὅσον) μεγάλα
[πηδήματα κάμνων
ταχὺς δρομεὺς ἠδύνατο νὰ φθάσῃ εἰς τὸ τέρμα σταδίου·
ἡ δὲ (Γλαύκη) ἄναυδος οὖσα καὶ κεκλεισμένους τοὺς ὀφθαλ-
[μοὺς ἔχουσα
φοβερὰ ἀναστενάξασα ἡ δυστυχὴς προσεπάθει νὰ ἐγερθῇ.
Διότι διπλῆ αὐτὴν συμφορὰ ἐπολέμει·
ὁ μὲν χρυσοῦς στέφανος πέριξ τῆς κεφαλῆς κείμενος
θαυμαστὸν ῥεῦμα παμφάγου πυρὸς ἐξέπεμπεν,
ὁ δὲ λεπτὸς πέπλος, δῶρον τῶν τέκνων σου,
κατέτρωγε τὰς λευκὰς σάρκας τῆς δυστυχοῦς.
Σηκωθεῖσα δὲ ἐκ τῆς ἕδρας φεύγει καιομένη,

σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον ἀλλ' ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως ἐλάμπετο.
Πίτνει δ' ἐς οὖδας συμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν.
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,

δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.

Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω παρελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας δέμας
κυνεῖ προσαυδῶν τοιάδ'· «ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον».
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,

σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέστη καὶ μεθῆχ' ὁ δύσμορος

ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
πέλας, ποθεινὴ δακρύοισι συμφορά.

σείουσα τὴν κόμην καὶ τὴν κεφαλὴν ἄλλοτε εἰς ἄλλο μέρος,
θέλουσα νὰ ῥίψῃ τὸν στέφανον· ἀλλὰ σφιγκτὰ
ὁ χρυσὸς (ὁ στέφανος) ἦτο συνδεδεμένος (μετὰ τῆς κεφαλῆς),
ἔσειε, διπλασίως ἔλαμπε. [τὸ πῦρ δέ, ἀφοῦ ἐκείνη τὴν κόμην
Πίπτει δὲ εἰς τὸ ἔδαφος καταβληθεῖσα ὑπὸ τῆς συμφορᾶς,
εἰς πάντα ἰδόντα ἐντελῶς ἀγνώριστος πλὴν εἰς τὸν πατέρα·
διότι οὔτε τῶν ὀφθαλμῶν ἡ θέσις ἦτο εὐδιάκριτος
οὔτε τὸ ὡραῖον πρόσωπον, αἷμα δὲ ἐκ τοῦ ἄκρου
τῆς κεφαλῆς ἔσταζε μεμειγμένον μετὰ πυρός,
σάρκες δὲ ἐκ τῶν ὀστῶν δίκην ὑγροῦ πεύκης (ῥητίνης)
κατέρρεον διὰ τῆς ἐνεργείας τῶν μυστηριωδῶν σιαγόνων τῶν
[φαρμάκων,
ὅπερ ἦτο φοβερὸν θέαμα· εἰς πάντας δὲ ἦτο φόβος νὰ ἐγγίσωμεν
τὸ πτῶμα· διότι (πρὸς τοῦτο) τὴν δυστυχίαν ἐκείνης εἴχο-
[μεν διδάσκαλον.
Ὁ δὲ δυστυχὴς πατὴρ ἐξ ἀγνοίας (τοῦ συμβεβηκότος) τοῦ πάθους
αἴφνης εἰσελθὼν εἰς τὸ δωμάτιον πίπτει πλησίον τοῦ πτώματος·
εὐθὺς δὲ ἐθρήνησε, καὶ ἐναγκαλισθεὶς τὸ σῶμα
φιλεῖ (αὐτὸ) λέγων τὰ ἑξῆς: «ὦ δυστυχὴς κόρη,
τίς ἐκ τῶν θεῶν σε κατέστρεψεν οὕτως ἀτίμως;
τίς τὸν ἑτοιμοθάνατον γέροντα ὀρφανὸν σοῦ
καθιστᾷ; ἀλλοίμονον, εἴθε ν' ἀποθάνω μετὰ σοῦ, ὦ τέκνον».
Ἀφοῦ δὲ τῶν θρήνων καὶ τῶν ὀδυρμῶν ἔπαυσε,
θέλων νὰ σηκώσῃ ἐπάνω τὸ γεροντικὸν σῶμά του
προσεκολλᾶτο, ὡς κισσὸς εἰς κλάδους δάφνης,
εἰς τὸν λεπτὸν πέπλον, φοβερὰ δὲ ἦτο ἡ πάλη·
διότι ὁ μὲν (Κρέων) ἤθελε νὰ σηκωθῇ,
αὕτη δὲ (ὁ πέπλος αὐτῆς) ἀντελαμβάνετο (προσεκολλᾶτο), ἂν
[δὲ μετεχειρίζετο βίαν,
τὰς γεροντικὰς σάρκας ἀπέσπα ἀπὸ τῶν ὀστέων.
Μετὰ πολὺν δὲ χρόνον ἀφῆκε (τὴν προσπάθειαν τῆς ἀπαλ-
[λαγῆς) καὶ ἀπέθανεν ὁ δυστυχής·
διότι δὲν ἦτο πλέον ὑπέρτερος τῆς δυστυχίας.
Κεῖνται δὲ νεκροὶ ἡ θυγάτηρ καὶ ὁ γέρων πατὴρ
ὁ εἷς πλησίον τοῦ ἄλλου, δυστυχία προξενοῦσα δάκρυα.

Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσει γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

ΧΟΡΟΣ. Ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάπτειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου πύλας
οἴχει γάμων ἕκατι τῶν Ἰάσονος.

ΜΗΔΕΙΑ. Φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονός,
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Ἀλλ' εἶ', ὁπλίζου, καρδία· τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς μηδ' ἀναμνησθῇς τέκνων
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ' ὅμως
φίλοι γ' ἔφυσαν· δυστυχὴς δ' ἐγὼ γυνή.

Καὶ περὶ μὲν τῆς ἰδικῆς σου συμφορᾶς δὲν ὁμιλῶ·
διότι ἡ ἰδία θὰ ἐννοήσῃς τὴν ἀποφυγὴν τῆς τιμωρίας.
Οὐχὶ δὲ τώρα πρώτην φορὰν θεωρῶ τἀνθρώπινα σκιὰν (μηδέν),
ἄνευ φόβου δὲ δύναμαι νὰ εἴπω ὅτι ἐκ τῶν ἀνθρώπων οἱ
[σοφοὶ
θεωρούμενοι καὶ οἱ ἀσχολούμενοι περὶ τοὺς λόγους (σοφισταί),
οὗτοι εἶναι εἰς μέγιστον βαθμὸν μωροί.
Διότι ἐκ τῶν θνητῶν οὐδεὶς ἄνθρωπος εἶναι εὐδαίμων·
ὅταν δὲ πλοῦτος ἐπισωρευθῇ, εὐτυχέστερος
ἄλλος δύναται νὰ γείνῃ ἀπὸ ἄλλον, εὐδαίμων ὅμως οὐχί.
ΧΟΡ. Φαίνεται ὅτι ὁ θεὸς κατὰ τὴν παροῦσαν ἡμέραν πολλὰ
κακὰ ἐπιφέρει δικαίως ἐναντίον τοῦ Ἰάσονος.
Ὦ δυστυχής, πόσον οἰκτείρομεν τὰς δυστυχίας σου,
κόρη τοῦ Κρέοντος, ἡ ὁποία εἰς τὰς πύλας τοῦ Ἅδου
ἔχεις μεταβῇ ἕνεκα τοῦ γάμου τοῦ Ἰάσονος.
ΜΗΔ. Ὦ φίλαι, ἔχει ἀποφασισθῇ τὸ πρᾶγμα ὑπ' ἐμοῦ, ὅσον τὸ δυ-
[νατὸν τάχιστα
ν' ἀναχωρήσω ἐκ ταύτης ἐδῶ τῆς χώρας, ἀφοῦ φονεύσω τὰ
καὶ μὴ ἡσυχάζουσα νὰ παραδώσω ταῦτα [τέκνα μου
εἰς ἄλλην δυσμενεστέραν χεῖρα νὰ φονεύσῃ ταῦτα.
Ἐξάπαντος εἶναι ἀνάγκη αὐτὰ ν' ἀποθάνωσιν· ἀφοῦ δὲ εἶναι
[ἀνάγκη,
ἡμεῖς θὰ φονεύσωμεν, οἱ ὁποῖοι βεβαίως ἐγεννήσαμεν αὐτά.
Ἀλλ' ἐμπρός, ὦ καρδία, ὁπλίζου· διατί βραδύνομεν,
ὥστε νὰ μὴ πράττωμεν τὰ φοβερά, ἀλλ' ἀναγκαῖα κακά;
Ἐμπρός, ὦ ἀθλία μου χείρ, λάβε τὸ ξίφος,
λάβε, προχώρει πρὸς τὴν λυπηρὰν ἀρχὴν τοῦ βίου,
καὶ μὴ φανῇς δειλὴ μηδὲ ἐνθυμηθῇς τὰ τέκνα σου
ὅτι εἶναι φίλτατα, ὅτι ἐγέννησας αὐτά· ἀλλὰ κατὰ τὴν ση-
[μερινὴν τοὐλάχιστον
βραχεῖαν ἡμέραν λησμόνησον τὰ τέκνα σου
καὶ ἔπειτα θρήνει αὐτά· διότι καὶ ἂν φονεύσῃς ταῦτα, ἀλλ'
φύσει εἶναι ἀγαπητά, ἐγὼ δὲ εἶμαι δυστυχὴς γυνή [ὅμως

ΣΤΑΣΙΜΟΝ Ζ'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Ἰὼ Γᾶ τε καὶ παμφαὴς
ἀκτὶς Ἀελίου, κατίδετ', ἴδετε τὰν
οὐλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
ἔβλαστεν, θεοῦ δ' αἵματι πίτνειν
φόβος ὑπ' ἀνέρων.
Ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε, κατάπαυσον, ἔξελ' οἴκων φονίαν
τάλαινάν τ' Ἐρινὺν ὑπ' ἀλαστόρων.

Ἀντιστροφή

Μάταν μόχθος ἔρρει τέκνων,
μάταν ἄρα γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν εἰσβολάν.
Δειλαία, τί σοι φρενῶν βαρὺς
χόλος προσπίτνει καὶ δυσμενὴς
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ' ἐπὶ γαῖαν αὐτοφόνταις συνῳ-
δὰ θεόθεν πίτνοντ' ἐπὶ δόμοις ἄχη.

ΠΑΙΣ α'. Οἴμοι τί δράσω; ποῖ φύγω μητρὸς χέρας;

ΠΑΙΣ β'. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ', ὀλλύμεσθα γάρ.

ΧΟΡΟΣ. Ἀκούεις βοάν, ἀκούεις τέκνων;
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.

* * * * * *

* * * * * * * *

Παρέλθω δόμους; ἀρῆξαι φόνον
δοκεῖ μοι τέκνοις.

ΣΤΑΣΙΜΟΝ Ζ'.

ΧΟΡΟΣ. — *Στροφὴ α'.*

Ἰὼ Γῆ καὶ φωτεινοτάτη
ἀκτὶς τοῦ Ἡλίου, καλῶς ἴδετε, ἴδετε τὴν
γυναῖκα, ἡ ὁποία εἶθε νὰ καταστραφῇ, πρὶν φονικὴν
κατὰ τῶν τέκνων ἐπιβάλῃ χεῖρα, ἡ ἰδία φονεύουσα ταῦτα·
διότι ἀπὸ τοῦ χρυσοῦ σπέρματός σου
ἐβλάστησαν, διὰ τὸ αἷμα δὲ τοῦ θεοῦ νὰ ῥεύσῃ
ὑπ' ἀνθρώπων φόβος ὑπάρχει.
Ἀλλὰ ταύτην, ὦ θεῖον φῶς, ἀπό-
τρεψον, ἐμπόδισον, ἀποδίωξον ἐκ τῶν οἴκων, ἡ ὁποία φονικὴ
καὶ ταλαίπωρος Ἐρινὺς ἐγένετο ὑπὸ ἐκδικητικῶν θεῶν.

Ἀντιστροφή

Ματαίως ἐχάθησαν οἱ διὰ τὰ τέκνα πόνοι,
ματαίως λοιπὸν ἀγαπητοὺς παῖδας ἐγέννησας, ὦ
τῶν τρικυμιωδῶν Συμπληγάδων
πετρῶν ἀφήσασα τὸ ἀφιλοξενώτατον (παρὰ πολὺ ἐπικίνδυνον) [στόμιον.
Δυστυχής, διατί τῆς καρδίας σκληρὰ
ὀργὴ συμβαίνει εἰς σὲ καὶ ἐχθρικὸς
φόνος ἀκολουθεῖ;
διότι εἶναι ὀλέθριοι εἰς τοὺς θνητοὺς οἱ παρὰ τῶν συγγενῶν
νοντες τὴν χώραν φόνοι, τῶν μιαιφόνων ἄξι- [μιαί-
αι τιμωρίαι, παρὰ τῶν θεῶν πίπτοντες εἰς τοὺς οἴκους.

Π. α'. Ἀλλοίμονον, τί νὰ πράξω; ποῦ (πορευθεὶς) ν' ἀποφύγω τὰς [χεῖρας τῆς μητρός;
Π. β'. Δὲν γνωρίζω, προσφιλέστατε ἀδελφέ· διότι καταστρεφόμεθα.
ΧΟΡ. Ἀκούεις τὴν φωνήν, ἀκούεις τῶν τέκνων;
φεῦ, ἀθλία, ὦ κακότυχος γυνή.

* * * * * *

* * * * * *

Νὰ εἰσέλθω εἰς τὸν οἶκον; ἀποδιώκουσα τὸν φόνον νὰ βοη- [θήσω
τὰ τέκνα μοι φαίνεται καλόν.

ΠΑΙΔΕΣ. Ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
ΧΟΡΟΣ. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων ὃν ἔτεκες
ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
Πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν συνθανοῦσ' ἀπόλλυται.
Τί δῆτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν; ὦ
γυναικῶν λέχος πολύπονον,
ὅσα βροτοῖς ἔρεξας κακά.

ΕΞΟΔΟΣ

ΙΑΣΩΝ. Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοῖσδ' ἔτ', ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω·
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
ΧΟΡΟΣ. Ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.

ΠΑΙΔ. Ναί, δι' ὄνομα τῶν θεῶν, βοηθήσατε· διότι ἐν καταλλήλῳ πε- [ριστάσει (θὰ πράξητε τοῦτο)·
ἐπειδὴ τώρα πλέον εἴμεθα πλησίον τῆς παγίδος τοῦ ξίφους.

ΧΟΡ. Ἀθλία, τώρα ἐνόησα πόσον ἦσο σκληρὰ ὡς λίθος ἢ σίδη-
ρος, ἀφοῦ σὺ τὰ τέκνα, τὰ ὁποῖα ἐγέννησας
διὰ τῆς ἰδίας χειρὸς μοιραίως θὰ φονεύσῃς.
Μίαν δὲ ἀκούω, μίαν ἐκ τῶν προγενεστέρων
γυναῖκα, ἡ ὁποία ἐπέβαλε χεῖρα κατὰ τῶν τέκνων αὐτῆς,
τὴν Ἰνώ, ἡ ὁποία ἐμάνη ὑπὸ τῶν θεῶν, ὅτε ἡ τοῦ Διὸς
σύζυγος αὐτὴν ἐξεδίωξε τῶν οἴκων εἰς πλάνην.
Ῥίπτεται δὲ ἡ δυστυχὴς εἰς τὴν θάλασσαν πρὸς φόνον
τῶν παίδων ἀσεβῆ,
ἐκ τῆς ἀκτῆς πηδήσασα τῆς θαλασσίας,
καὶ μετὰ τῶν δύο παίδων συναποθανοῦσα ἐξαφανίζεται.
Τί λοιπὸν ἀκόμη δύναται νὰ γείνῃ φοβερόν; Ὦ
πολύμοχθος κλίνη τῶν γυναικῶν,
πόσα κακὰ ἔπραξας εἰς τοὺς ἀνθρώπους.

ΕΞΟΔΟΣ

ΙΑΣ. Γυναῖκες, αἱ ὁποῖαι πλησίον τούτου ἐδῶ τοῦ οἴκου ἔχετε στα-
θερά γε ἢ τὰ φοβερὰ ἔχουσα πράξει [θῆ,
Μήδεια ἐντὸς τούτου ἐδῶ τοῦ οἴκου ὑπάρχει ἀκόμη, ἢ διὰ φυ- [γῆς ἔχει ἀπέλθει;
διότι πρέπει αὐτὴ ἢ βεβαίως νὰ κρυβῇ ὑποκάτω τῆς γῆς,
ἢ εἰς τὸ ὕψος τοῦ αἰθέρος νὰ σηκώσῃ τὸ σῶμα πτερωτόν,
ἂν δὲν τιμωρηθῇ ὑπὸ τοῦ οἴκου τῶν βασιλέων.
Ἔχει πεποίθησιν ὅτι φονεύσασα τοὺς βασιλεῖς τῆς χώρας
θὰ φύγῃ ἐκ τοῦ οἴκου τούτου ἐδῶ αὐτὴ ἀτιμώρητος;
Ἀλλ' ὅμως δὲν φροντίζω περὶ αὐτῆς καθὼς περὶ τῶν τέκνων μου·
ἐκείνην μὲν θὰ τιμωρήσωσιν αὐτοί, τοὺς ὁποίους ἔβλαψε,
τῶν τέκνων μου δὲ ἦλθον (ἐγὼ) νὰ σώσω τὴν ζωήν,
(φοβούμενος) μήπως μοι πράξωσι κακόν τι (κατ' αὐτῶν) οἱ
τῆς μητρὸς τιμωροῦντες τὸν ἀνόσιον φόνον, [συγγενεῖς,

ΧΟΡ. Ὦ ταλαίπωρε Ἰάσων, δὲν γνωρίζεις εἰς ποῖον βαθμὸν δυστυ-
διότι ἄλλως δὲν θὰ ἔλεγες τοιούτους λόγους. [χίας ἔχεις φθάσει·

ΙΑΣΩΝ. Τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;
ΧΟΡΟΣ. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
ΙΑΣΩΝ. Οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
ΧΟΡΟΣ. Ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.

ΙΑΣΩΝ. Ποῦ γάρ νιν ἔκτειν'; ἐντὸς ἢ 'ξωθεν δόμων;
ΧΟΡΟΣ. Πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.
ΙΑΣΩΝ. Χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν,
τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.
ΜΗΔΕΙΑ. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,

νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ', εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ', εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.
Τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χειρός.
ΙΑΣΩΝ. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι

θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας·

καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν ἥ σ' ἐθρέψατο.
τὸν σὸν ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρῳρον εἰσέβης τῆς Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.

ΙΑΣ. Ἀλλὰ τί εἶναι ; μήπως καὶ ἐμὲ θέλει νὰ φονεύσῃ ;
ΧΟΡ. Οἱ παῖδές σου ἔχουσιν ἀποθάνει ὑπὸ τῆς μητρικῆς χειρός.
ΙΑΣ. Ἀλλοίμονον, τί θὰ εἴπῃς ; πόσον με κατέστρεψας, ὦ γύναι.
ΧΟΡ. Φρόντιζε λοιπὸν περὶ τῶν τέκνων σου οὕτως ὡς νὰ μὴ ὑπάρ- [χωσι πλέον.
ΙΑΣ. Ἀλλὰ ποῦ ἐφόνευσεν αὐτά ; ἐντὸς ἢ ἐκτὸς τοῦ οἴκου ;
ΧΟΡ. Τὰς πύλας ἀνοίξας θὰ ἴδῃς τὸν φόνον τῶν τέκνων σου.
ΙΑΣ. Ἀνοίξατε τὰς θύρας ὅσον τὸ δυνατὸν τάχιστα, ὦ ἀκόλουθοι, ἀφαιρέσαντες τοὺς μοχλούς, ἵνα ἴδω διπλοῦν δυστύχημα, δηλαδὴ τὰ μὲν τέκνα μου θανόντα, τὴν δὲ (Μήδειαν) διὰ φό- [νου ἐκδικηθῶ.
ΜΗΔ. Διατί ταύτας ἐδῶ τὰς πύλας κινεῖς καὶ διὰ μοχλῶν προσπα- [θεῖς ν' ἀνοίξῃς,
ζητῶν τοὺς νεκροὺς καὶ ἐμὲ τὴν ἔχουσαν διαπράξει (τὸν φόνον);
Ἄφες τὸν κόπον τοῦτον, ἐὰν δὲ ἔχῃς χρείαν ἐμοῦ,
λέγε, ἂν θέλῃς τι, διὰ τῆς χειρὸς ὅμως δὲν θὰ με ἐγγίσῃς ποτέ.
Τοιοῦτον ὄχημα ὁ πατὴρ του πατρός μου (πάππος) Ἥλιος
ἔδωκεν εἰς ἐμέ, ὡς προφύλαγμα ἀπὸ πολεμικῆς χειρός.
ΙΑΣ. Ὦ προσωποποίησις τοῦ μίσους, ὦ εἰς μέγιστον βαθμὸν ἐχθρο- [τάτη γυνὴ
καὶ εἰς τοὺς θεοὺς καὶ εἰς ἐμὲ καὶ εἰς ὅλον τὸ γένος τῶν ἀνθρώ- [πων,
ἡ ὁποία νὰ φονεύσῃς διὰ τοῦ ξίφους τὰ τέκνα σου
ἐτόλμησας, ἂν καὶ ἐγέννησας (αὐτά), καὶ ἐμὲ στερηθέντα τῶν [τέκνων κατέστρεψας·
καὶ ἐνῷ ἔπραξας ταῦτα πρὸς τὸν ἥλιον ἀτενίζεις
καὶ πρὸς τὴν γῆν, τολμήσασα ἔργον ἀσεβέστατον.
Εἴθε νὰ χαθῇς, ἐγὼ δὲ τώρα ὀρθοφρονῶ, ἐνῷ τότε ἤμην ἄφρων,
ὅτε σε ἐκ τοῦ βαρβαρικοῦ οἴκου καὶ τῆς βαρβαρικῆς χώρας
εἰς ἑλληνικὸν οἶκον ὡδήγησα, ὡς μέγα κακόν, [θρεψε·
ἐνῷ ἦσο προδότις τοῦ πατρὸς καὶ τῆς χώρας, ἡ ὁποία σε ἀνέ-
κατ' ἐμοῦ οἱ θεοὶ ἐπέπεμψαν τὸν ἰδικόν σου τιμωρὸν δαίμονα·
διότι, φονεύσασα, ὡς γνωστόν, τὸν ἀδελφόν σου ἐν τῷ οἴκῳ,
ἐπέβης τοῦ καλλιπρῴρου πλοίου τῆς Ἀργοῦς.
Ἀπὸ τοιαῦτα μὲν ἤρχισας, νυμφευθεῖσα δὲ
μετ' ἐμοῦ καὶ γεννήσασα εἰς ἐμὲ τέκνα,
ἕνεκα συζυγικῆς κλίνης ἐφόνευσας αὐτά.
Δὲν ὑπάρχει Ἑλληνὶς γυνή, ἡ ὁποία τοῦτο
ἤθελέ ποτε τολμήσει, ἀντὶ τῶν ὁποίων βέβαια ἔκρινα ἄξιον ἐγὼ
νὰ νυμφευθῶ σε σύζυγον ἐχθρὰν καὶ ὀλέθριον εἰς ἐμέ,
λέαιναν, οὐχὶ γυναῖκα ἀπὸ τὴν Σικελικὴν
Σκύλλαν ἔχουσαν ἀγριωτέραν φύσιν.

Ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος·
ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.

ΜΗΔΕΙΑ. Μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντίον
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας οἷά τ' εἰργάσω·
Σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί·
οὐδ' ἡ τύραννος, οὐδ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἄτιμον τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει
καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησε πέδον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.

ΙΑΣΩΝ. Καὐτή γε λυπεῖ καὶ κακῶν κοινωνὸς εἶ.

ΜΗΔΕΙΑ. Σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.

ΙΑΣΩΝ. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.

ΜΗΔΕΙΑ. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.

ΙΑΣΩΝ. Οὔτοι νιν ἡμὴ δεξιὰ διώλεσεν.

ΜΗΔΕΙΑ. Ἀλλ' ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.

ΙΑΣΩΝ. Λέχους σφέ γ' ἠξίωσας εἵνεκα κτανεῖν;

ΜΗΔΕΙΑ. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;

ΙΑΣΩΝ. Ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.

ΜΗΔΕΙΑ. Οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.

ΙΑΣΩΝ. Οἵδ' εἰσίν, ὤμοι, σῷ κάρᾳ μιάστορες.

ΜΗΔΕΙΑ. Ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.

ΙΑΣΩΝ. Ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.

ΜΗΔΕΙΑ. Στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

ΙΑΣΩΝ. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.

ΜΗΔΕΙΑ. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.

ΙΑΣΩΝ. Θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.

'Αλλὰ (παύω ἀπὸ τοῦ νὰ λέγω ταῦτα), διότι οὐδὲ δι' ἀπείρων ὕβρεων
δύναμαι νὰ σὲ λυπήσω· τοιαύτη θρασύτης φύσει εἰς σὲ ὑπάρχει·
χάσου, ὦ διαπράξασα αἰσχρὰ καὶ μιαρὰ φονεὺς τῶν τέκνων.
Εἰς ἐμὲ δὲ ἀπομένει νὰ θρηνῶ τὴν τύχην μου,
διότι ἐγὼ οὔτε τὴν νέαν σύζυγον θὰ χαρῶ,
οὔτε τοὺς παῖδας, τοὺς ὁποίους ἐγέννησα καὶ ἀνέθρεψα,
δύναμαι νὰ προσφωνήσω ζῶντας, ἀλλ' ἔχασα αὐτούς.

ΜΗΔ. 'Ηδυνάμην νὰ εἴπω πολλοὺς λόγους εἰς ἀπάντησιν τούτων ἐδῶ
τῶν λόγων, ἂν ὁ πατὴρ Ζεὺς δὲν ἐγνώριζεν
ὁποίας εὐεργεσίας ἐκ μέρους μου ἔχεις εὐεργετηθῆ καὶ ὁποῖα [κακὰ πρὸς ἐμὲ ἔπραξας.
Σὺ ὅμως δὲν ἦτο πεπρωμένον περιφρονήσας τὴν κλίνην μου
νὰ ζήσῃς εὐχάριστον βίον περιγελῶν με,
οὐδὲ ἡ κόρη τοῦ βασιλέως, οὐδὲ ὁ δώσας εἰς σὲ (δευτέραν) σύζυγον
Κρέων, ἐκδιώξας με ἐκ ταύτης ἐδῶ τῆς χώρας περιφρονημένην!
Συμφώνως πρὸς ταῦτα, ἂν θέλῃς, ὀνόμαζέ με καὶ λέαιναν
καὶ Σκύλλαν, ἡ ὁποία κατῴκησε τὴν Σικελικὴν χώραν·
διότι καθὼς πρέπει τὴν καρδίαν σου ἐλύπησα.

ΙΑΣ. Καὶ σὺ βέβαια λυπεῖσαι καὶ μετέχεις τῶν δυστυχιῶν.

ΜΗΔ. Βεβαίως· ἀλλὰ καταπραΰνει τὴν λύπην μου, ἐν ὅσῳ σὺ δέν με [περιγελᾷς.

ΙΑΣ. Ὦ τέκνα, πόσον κακῆς μητρὸς ἐτύχετε.

ΜΗΔ. Ὦ παῖδες, πόσον κατεστράφητε ἕνεκεν ἀκολασίας τοῦ πατρός!

ΙΑΣ. Βεβαίως δέν τα ἐφόνευσεν ἡ δεξιά μου χείρ.

ΜΗΔ. 'Αλλὰ (ἐφόνευσεν) ἡ ἀλαζονεία σου (πρὸς ἐμὲ) καὶ οἱ νέοι [σου γάμοι.

ΙΑΣ. Ἔκρινας ἄξιον νὰ φονεύσῃς τὰ τέκνα σου ἕνεκα βέβαια γάμου;

ΜΗΔ. Νομίζεις ὅτι τοῦτο εἶναι μικρὸν κακὸν διὰ γυναῖκα;

ΙΑΣ. (Διὰ γυναῖκα) ἡ ὁποία βεβαίως εἶναι σώφρων· εἰς σὲ ὅμως ὅλα [εἶναι κακά.

ΜΗΔ. Οὗτοι ἐδῶ (οἱ παῖδες) δὲν ζῶσι πλέον· (καὶ σοὶ λέγω τοῦτο) [διότι θὰ σὲ λυπήσῃ.

ΙΑΣ. Οὗτοι ἐδῶ (οἱ παῖδες) εἶναι σκληροὶ τιμωροὶ τῆς κεφαλῆς σου.

ΜΗΔ. Οἱ θεοὶ γνωρίζουσι τίς ἔκαμεν ἀρχὴν τοῦ κακοῦ.

ΙΑΣ. Βεβαίως γνωρίζουσι τὴν κατάπτυστον ψυχήν σου.

ΜΗΔ. Μίσει με· ἐγὼ δὲ μισῶ τὴν πρόξενον λύπης (εἰς ἐμὲ) φωνήν σου.

ΙΑΣ. Καὶ ἐγὼ βεβαίως τὴν ἰδικήν σου· εὔκολον δὲ εἶναι ν' ἀποχω-[ρισθῶμεν.

ΜΗΔ. Κατὰ ποῖον τρόπον λοιπόν; τί νὰ πράξω; διότι καὶ ἐγὼ [παρὰ πολὺ θέλω τοῦτο.

ΙΑΣ. 'Επίτρεψόν μοι νὰ θάψω καὶ κλαύσω τοὺς νεκροὺς τούτους ἐδῶ.

ΜΗΔΕΙΑ. Οὐ δῆτ', ἐπεὶ σφᾶς τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκός, κατθανεῖ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.

ΙΑΣΩΝ. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.

ΜΗΔΕΙΑ. Τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;

ΙΑΣΩΝ. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗΔΕΙΑ. Στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑΣΩΝ. Στείχω, δισσῶν γ' ἄμορος τέκνων.

ΜΗΔΕΙΑ. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑΣΩΝ. Ὦ τέκνα φίλτατα. ΜΗ. Μητρί γε, σοὶ δ' οὔ.

ΙΑΣΩΝ. Κἄπειτ' ἔκανες; ΜΗ. Σέ γε πημαίνουσ'.

ΙΑΣΩΝ. Ὤμοι, φιλίου χρῄζω στόματος
παίδων ὁ τάλας προσπτύξασθαι.

ΜΗΔΕΙΑ. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζει,
τότ' ἀπωσάμενος. ΙΑ. Δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.

ΜΗΔΕΙΑ. Οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.

ΙΑΣΩΝ. Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ'
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,
τάδε καὶ θρηνῶ κἀπιθεάζω,
μαρτυρόμενος δαίμονας ὥς μοι
τέκν' ἀποκτείνασ' ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ' ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθινομένους ἐπιδέσθαι.

ΧΟΡΟΣ. Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΜΗΔ. Οὐδέποτε, ἐπειδὴ ἐγὼ θὰ θάψω αὐτοὺς διὰ ταύτης ἐδῶ τῆς μεταφέρουσα εἰς τὸ ἱερὸν τῆς Ἥρας τῆς ἐν Ἀκροπόλει, [χειρός, ἵνα μή τις ἐκ τῶν πολεμίων ὑβρίσῃ αὐτούς,
ἀνασκάπτων τοὺς τάφους· εἰς ταύτην δὲ τὴν χώραν τοῦ Σισύφου σεμνὴν ἑορτὴν καὶ τελετὰς θὰ τελῶμεν
εἰς τὸ μέλλον ἀντὶ τούτου ἐδῶ τοῦ ἀσεβοῦς φόνου.
Ἐγὼ δὲ θὰ πορευθῶ εἰς τὴν χώραν τοῦ Ἐρεχθέως (Ἀθήνας),
διὰ νὰ συνοικήσω μετὰ τοῦ Αἰγέως τοῦ υἱοῦ τοῦ Πανδίονος.
Σὺ δέ, ὡς εἶναι πρέπον, θὰ ἀποθάνῃς κακῶς, διότι εἶσαι κακός,
κτυπηθεὶς κατὰ τὴν κεφαλὴν διὰ τεμαχίου ξύλου τῆς Ἀργοῦς,
ἀφοῦ εἶδες λυπηρὸν τέλος τῶν μετ' ἐμοῦ γάμων.

ΙΑΣ. Ἀλλὰ σὲ ἡ Ἐρινὺς τῶν τέκνων εἴθε νὰ καταστρέψῃ
καὶ ἡ τιμωρὸς τοῦ φόνου Δικαιοσύνη.

ΜΗΔ. Ἀλλὰ τίς θεὸς ἢ δαίμων ἀκούει σέ,
τὸν ἐπίορκον καὶ ἀπατεῶνα τῆς ξενίας ;

ΙΑΣ. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδοκτόνε.

ΜΗΔ. Πορεύου εἰς τὸν οἶκόν σου καὶ θάπτε τὴν σύζυγόν σου.

ΙΑΣ. Πορεύομαι, ἐστερημένος τῶν δύο μου τέκνων.

ΜΗΔ. Ἀκόμη δὲν κλαίεις (καλά)· περίμενε εἰς τὸ γῆρας.

ΙΑΣ. Ὦ ἀγαπητότατα τέκνα. ΜΗΔ. Εἰς τὴν μητέρα βέβαια καὶ [οὐχὶ εἰς σέ.

ΙΑΣ. Καὶ ἔπειτα ἐφόνευσας αὐτά ; ΜΗΔ. Σὲ βεβαίως ἵνα λυπήσω.

ΙΑΣ. Ἀλλοίμονον, ἔχω ἀνάγκην τὸ ἀγαπητὸν στόμα
τῶν τέκνων ὁ δυστυχὴς νὰ ἀσπασθῶ.

ΜΗΔ. Τώρα προσαγορεύεις, τώρα ἀσπάζεσαι,
ἐνῷ τότε ἀπέπεμψας αὐτούς. ΙΑΣ. Δός μοι δι' ὄνομα τῶν νὰ ἐγγίσω τὸ μαλακὸν δέρμα τῶν τέκνων. [θεῶν

ΜΗΔ. Δὲν εἶναι δυνατόν, ματαίως ὁ λόγος (οὗτος) ἔχει λεχθῆ.

ΙΑΣ. Ὦ Ζεῦ, ἀκούεις ταῦτα πῶς ἀποδιώκομαι
καὶ ὁποῖα πάσχω ἐκ μέρους τῆς μυσαρᾶς
καὶ παιδοκτόνου ταύτης ἐδῶ λεαίνης ;
Ἀλλ' ὁπόσον τοὐλάχιστον ἐξαρτᾶται ἀπὸ ἐμὲ καὶ δύναμαι,
καὶ θρηνῶ ταῦτα ἐδῶ τὰ τέκνα μου καὶ ἐπικαλοῦμαι μάρτυρας διαμαρτυρόμενος εἰς τοὺς θεοὺς ὅτι [τοὺς θεούς,
φονεύσασα τὰ τέκνα με ἐμποδίζεις
νά τα ἐγγίσω διὰ τῶν χειρῶν καὶ νὰ θάψω τοὺς νεκροὺς αὐτῶν,
τὰ ὁποῖα εἴθε ἐγὼ μηδέποτε νὰ ἐγέννων,
ὥστε ζήσασα νὰ ἴδω (ταῦτα) φονευόμενα ὑπὸ σοῦ.

ΧΟΡ. Πολλῶν (πραγμάτων) κύριος εἶναι ὁ Ζεὺς ἐν τῷ Ὀλύμπῳ,
πολλὰ δὲ παρ' ἐλπίδα οἱ θεοὶ ἐκτελοῦσι·
τὰ δὲ ἐλπιζόμενα συνήθως δὲν ἐκτελοῦνται,
τῶν δὲ ἀνελπίστων συνήθως ὁ θεὸς εὑρίσκει μέσον (πρὸς ἐκτέ-
Τοιαύτη ἀπέβη καὶ ἡ ὑπόθεσις αὕτη. [λεσιν).

ΔΙΟΡΘΩΣΙΣ ΠΑΡΟΡΑΜΑΤΩΝ

Ἐν σελ.	12	στίχ.	7	ἀντὶ	δρασείουσσαν	γράφε	δρασείουσαν
»	»	19	»	5	»	ἂν καὶ ἔχει	»	ἂν καὶ ἔχουσα

29 29107

PA
3973
M4
1903

Stanford University Libraries

3 6105 012 015 439

Stanford University Libraries
Stanford, California

Return this book on or before date due.